83 ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. ὅμως δὲ τοῦτο μὲν ἴτω ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ ἀπολο-
86 γητέον.

§. 3. Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστίν, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλιτός με ἐγράψατο τὴν γραφὴν ταύτην.
89

renders the passage, *hi omnes infiniti omnino sunt*, which is plainly incorrect.

Ἀναβιβάσασθαι.] *To bring forward.* Scap. Lex. "In voce media *ἀναβιβάζομαι*, ascensurum produco, prodire facio, produco."

Σκιαμαχεῖν.] *To contend with a shadow.*

Εἶεν.] This term was used by the Attic writers to express their having discussed sufficiently one branch of a subject, and their engaging in another. Stall. ad Euthyphr. p. 88. sqq.

Ἐξελέσθαι τὴν διαβολήν.] h. e. *Adimere et evellere animis vestris malam de me opinionem.* STALL. who explains διαβολὴ by *mala opinio, suspicio, quatenus falsis criminationibus excitata est.* So Hesych. Gloss. Διάβολη· ὑπόπτευσις ἢ ὑπόληψις.

Πλέον τί.] Socrates was desirous to effect something further than the mere removal of the unfavorable impression caused by the calumnies of his adversaries, from the minds of his judges; he wished it to be replaced by one of an opposite character, which he trusted to establish in the course of his defence.

Γραφὴν ταύτην.] Γραφὴ means an indictment or legal accusation of a public delinquent; δίκη, as opp. to γραφὴ, is applied to a private cause, suit, or action, pleaded in a court of justice; but, taken absolutely, it signifies either public or private suits. Γράφεσθαι γραφήν is an ordinary form, as also γράφεσθαί τινα; hence the verb is often used with a double accusative, as in the text.

Εἶεν. τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; ὡς περ οὖν κατηγόρων τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι αὐτῶν. Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια, καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν, καὶ ἄλλους ταὐτὰ διδάσκων. Τοιαύτη τίς ἐστι· τοιαῦτα γὰρ ἑωράτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ, Σωκράτην τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε

Ὡς περ οὖν κατηγόρων, κ. τ. λ.] *Debet accusatio eorum ut libellus accusatorum propris dictorum recitari.*— STALL. Ἀντωμοσία. Tim. Plat. Lex. γραφὴ κατά τινος ἔνορκος, περὶ ὧν ἠδικῆσθαι φησιν. At Athens, an oath was required of both parties at trial; the plaintiff swore ἀληθῆ κατηγορεῖν, *to allege the truth*; the defendant, ἀληθῆ ἀπολογήσειν, *to make true defence.* This oath, on the part of either plaintiff or defendant, was called ἀντωμοσία; a term which was also applied to the information upon oath of the accuser; *accusationis formula*, FISCH; written upon a tablet, whence ἀναγνῶναι, supr. and delivered to the judge. See Potter, Grec. Antiq. vol. i. c. 21.

Περιεργάζεται.] *Is officiously inquisitive.* Περιεργάζεσθαι, proprie est *curiose aliquam rem tractare* adeoque nimium studii in re aliqua ponere; deinde *curare ea, quæ nihil ad te pertinent: curare res inanes, vanas, inutiles*, ut supr. STALL.

Ἐπουράνια.] i. q. Μετεωρα, supr. c. 2. and infr. c. 10. So Seneca, Quæstt. Naturr. ii. 1, "*cælestia* etiam *sublimia* vocat, hoc est, nubila, imbres, nives, et humanas motura tonitrua mentes, quæcunque aer facit patiturve." FISCH.

Τὸν ἥττω λόγον κρείττω.] Quintil. ii. 16. 3. "Nam et Socrati objiciunt comici, docere eum, quomodo pejorem causam mellorem faciat." FISCH.

Ἀεροβατεῖν.] Hesych. interp. εἰς τὸν ἀέρα περιπατεῖν. See Aristoph. Nub. 226, where Socrates is introduced as suspended in a basket in the air, and to the inquiry of Strepsiades, πρῶτον μέν, ὅ τι ὁρᾷς, ἀντιβολῶ, κατείπε μοι, replying, ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. In like manner Abaris, the Pythagorean, was called Ἀιθροβάτης.— Porphyr. in. Vit. Pythag. sec. 29. According to Stallbaum, the learned have erred in concluding, that from Socrates having been, in the first instance, represented by Aristophanes as morose in his disposition, and ridiculous in his pursuits, he was subsequently condemned as a slanderer and a sophist. For a considerable time had elapsed since the first representation of the clouds; the play was unsuccessful, and the poet and philosopher were on such terms of intimacy afterwards, that the former could either never have intended to be seriously malicious; or, if he had been carried away so far as to commit a wanton injury upon an innocent and inoffensive object, he found good reason to regret his error. Hence Stallbaum infers that the allusion which Socrates makes to the comedy, is at once ironical and sarcastic; he appears to talk gravely upon a subject which in reality afforded only occasion for mirth, and so inflicts a severer censure upon the folly of his accusers, who, in the warmth of their animosity, availed themselves of arguments which were either unfounded in fact, or merely advanced in jest. Victor Cousin, in his Nouveaux Fragmens Philosophiques, Paris, 1829. p. 151. sqq. gives it as his opinion, that Aristophanes made a complete distinction between the doctrine of Socrates and his character and abilities. V. Aristoph. Brunck. p. 65. t. 2.

Ἄλλην πολλὴν φλυαρίαν.] See Aristoph. Nub. 223. sqq.

Ὧν ἐγὼ οὐδέν, κ. τ. λ.] Ὧν is governed of περι, before ἐπαΐω, which is used in construction either with a ge-

σμικρὸν πέρι ἐπαίων· καὶ οὐχ ὡς ἀτιμάζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός ἐστι· μή πως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φύγοιμι! ἀλλὰ γὰρ ἐμοὶ τῶν τοιούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι. μάρτυρας δ' αὐτοὺς ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου· πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσι. φράζετε οὖν ἀλλήλοις εἰ πώποτε ἢ σμικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε ὅτι τοιαῦτ' ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

§. 4. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν οὐδέ γ' εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. ἐπεὶ καὶ τοῦτό γ' ἐμοὶ δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους ὥς περ Γοργίας τε ὁ Λεον-

nitive simply, or with *πέρι* and a genitive, as supr. Οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν, is a proverbial expression; *quorum ego nihil omnino scio: quæ ego prorsus ignoro.* FISCH. So infr. ἢ σμικρὸν ἢ μέγα, *quidquam.*—Σμικρον. Mœrid. auctor. is the Attic form of μικρον.

Μή πως ἐγὼ, κ. τ. λ.] *Let me not be accused by Melitus upon so grave a charge.* The sentence is ironical, and is thus explained by Stallbaum: *Neque ego contemno et rejicio illam scientiam rerum cælestium, et artis cujus ope causa inferior fiat superior: atque utinam Melitus me nullo modo tantæ injuriæ possit reum agere.* δίκην φεύγειν signifies, *to be accused, to be the defendant in a cause,* and is so opposed to διώκειν, *to accuse, as plaintiff.* It is not clear how Ficinus understood the passage. V. Lat. Interp.

Οὐδὲν μέτεστι.] i. q. Οὐδὲν ἐπίσταμαι. c. 4. extr. FISCH.

Καὶ ἀξιῶ ὑμᾶς, κ. τ. λ.] h. e. *Et volo s. postulo, ut vos ipsi alius alium edoceatis.* STALL.

Ἐκ τούτου.] sc. Ἐκ τοῦ διδάσκειν, κ. τ. λ. supr. Some editions read τούτων.

§. 4. Ἀλλὰ γὰρ οὔτε, κ. τ. λ.] Socrates proceeds to discuss another of the charges alleged against him: that he was in the habit of instructing for hire. See Aristoph. Nub. 95. sqq.

Χρήματα πράττομαι.] *I exact payment.* πράττειν has the force of ἀπαιτεῖν, and signifies, *to demand on another's account;* πράττεσθαι i. q. ἀπαιτεῖσθαι, *to demand on one's own account.* The expression in the text was chiefly applied to those sophists who taught for money, and is equivalent to the phrase μισθὸν τῆς συνουσίας πράττομαι.—Xen. Memorr. i. 2. 60. where Xenophon declares that Socrates had never required any remuneration from his disciples: he also introduces the philosoper as speaking to the same effect, Apol. 16. ὃς παρ' οὐδενὸς, οὔτε δῶρα, οὔτε μισθὸν, δέχομαι. FISCH.

Ἐπεὶ καὶ τοῦτό, κ. τ. λ.] This must be understood ironically; Socrates wishes to stigmatise and ridicule the avarice of the sophists.

Εἴ τις οἷός τ' εἴη.] See Matthiæ Gr. s. 524. Obs. 3.

Γοργίας, κ. τ. λ.] A disciple of Empedocles, and a distinguished sophist and

116 τῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱππίας δὲ ὁ Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν ἰὼν εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυ-
119 τῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσι τὰς ἐκείνων ξυνουσίας ἀπολιποντὰς σφίσι ξυνεῖναι χρήματα διδόντας καὶ χάριν προσει-
122 δέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδη σο-

rhetorician, born at Leontium, a town of Sicily. According to Suidas, he was the first who moulded rhetoric to an art. His talent for extemporaneous eloquence commanded the admiration and respect of all Greece; and during an abode of some years at Athens, in the office of ambassador, he received from that state the most flattering testimonies of their consideration. He enriched himself by giving courses of public lectures, for which he exacted from each of his disciples one hundred minæ. Pausanias relates, Phoc. ch. 18, that he presented the temple at Delphi with a gilded statue of himself, and that after a life full of glory, he died, aged one hundred and five years; according to Diog. Laertius, Suidas, and Philostratus, at one hundred and nine years old. Diog. Laert. 9. 52. Cic. de Orat. i. 22. iii. 32. Platon. Gorg.—Prodicus was born at Ceos, one of the Cyclades, he was a rhetorician and physician, a disciple of Protagoras, and cotemporary of Democritus. Xenophon has preserved his beautiful allegory, the judgment of Hercules. He devoted himself with great assiduity to ascertaining and fixing the exact meaning of words. His instructions were never gratuitous, and he justified his conduct in this particular by his favourite maxim from Epicharmus: *ἃ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι καὶ λαβέ τι.*—Hippias was born in Elis, a city of Peloponnesus; in wealth, reputation, and prosperity, he was in no respect inferior to Gorgias, to whose eloquence his own bore a marked resemblance. He was charged with several missions of importance by the Lacedemonians, and always acquitted himself with high credit and honourable distinction. Platon. Hipp. Min. Cratyl. passim.

Προῖκα.] Κατὰ δωρεάν, ἄνευ μισθοῦ. SCHOL.

Τούτους πείθουσι.] The usual kind of *anacoluthon* is that of a writer commencing a period in the way which the process of his speech requires, but afterwards, and especially after some interpolations which make the hearer forget the beginning of the construction, passing over to a new construction; as in the text, where the *τούτων* in the beginning of the sentence refers to the sophists already mentioned, and both the process of the speech, and its emphasis, required the new period to commence with *any one of them is capable of persuading young people, &c.* The following proposition must then have had the *infin.* *πειθειν* to correspond to *οἷός τ' ἐστίν.* But farther on, the mention of the young people being interpolated with circumstances rendered necessary to establish a contrast, (the young people, who are at liberty to have a gratuitous intercourse with any of their fellow-citizens whom they like,) the writer forsakes his construction, of which the grammatical junction is now obscured, and finds it more natural to refer with a second *τούτους* to the *νέους*, and to commence a new construction, *τούτους πείθουσι*—i. e. *those sophists persuade the young people, &c.* Buttmann's Intermed. Gr. Gr. pp. 422. 423. The terms *ξυνεῖναι* and *ξυνουσία* are applied to the habits of intercourse which existed between master and pupil; whence auditors or disciples are generally called *οἱ ξυνόντες.* STALL.

Ἀνήρ Πάριος.] Evenus, born in the island of Paros, a sophist and elegiac poet. Harpocr. in. voc. *δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς, ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ περὶ Χρονογραφιῶν,*

φός, ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ προσ-
ελθὼν ἀνδρὶ ὅς τετέλεκε χρήματα σοφισταῖς πλείω ἢ
ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου. τοῦτον
οὖν ἀνηρόμην—ἐστὸν γὰρ αὐτῷ δύο υἱέε—Ὦ Καλ-
λία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω
ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ
μισθώσασθαι ὃς ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιή-
σειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν οὗτος ἢ τῶν
ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ ἀνθρώ-
πω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν;
τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολι-
τικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι διὰ
τὴν τῶν υἱέων κτῆσιν. ἔστι τις, ἔφην ἐγώ, ἢ οὔ;
Πάνυ γε, ἦ δ' ὅς. Τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός; καὶ
πόσου διδάσκει; Εὔηνος, ἔφη, ὦ Σώκρατες, Πάριος,
πέντε μνῶν. Καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς
ἀληθῶς ἔχει ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς

ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι δέ φησιν τὸν νεώτερον μόνον. μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων.

Ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα.] *Ad quem ego aliqando animum adverti in nostra urbe commorantem.* STALL. Socrates had not seen Evenus, but had heard from Callias what he was going to state concerning him. It is probable that Ficinus read ἤσθην or ᾐδόμην, See Lat. interp.

Ὃς τετέλεκε, κ. τ. λ.] h. e. *qui inter omnes, qui apud nos sapientiæ student, plurimum pecuniæ sophistis solvit.* STALL. The wealth of Callias was proverbial, whence it is said that he was commonly called, simply, ὁ πλούσιος. But his profligacy was extreme, and his extravagance unbounded; failings which the sophists were not slow in turning to their own advantage. Xenoph. Sympos. i. 5.

Ἦν δ' ἐγώ.] Ἔφην δ' ἐγώ. SCHOL.

Αὐτοῖν.] Ald Bas. 1. Norib. αὐτῶν. Bas. 2. αὐτοῖς.

Ἐπιστάτην.] Soph. in Ajace, ποιμνίων ἐπιστάται, *gregis curatores, ovilium magistri.* Μισθώσασθαι—μισθοῦν, *locare: μισθωσασθαι, conducere, redimere.* STALL.

Πέντε μνῶν.] The Attic mina was equivalent to a hundred Attic drachms. Hence it appears that Evenus was much less exorbitant than the sophists previously mentioned, Gorgias, of Leontium, &c. It is said of Prodicus, that he receved fifty minæ from each of his auditors, individually, for a single lecture. FORST.

Εἰ ὡς ἀληθῶς ἔχει.] The Greeks often quote the words of another narratively, and yet suddenly change into the *orat. recta*, as if the person himself spoke. Thus they put ὡς, ὅτι itself before the actual words of the speaker. Matthiæ Gr. s. 529. 5. So Socrates, as supr., repeats the observation he made to Callias after his comment on the good fortune of Evenus.

Ἐμμελῶς.] In Actis Erudit. a. 1749. p. 22. εὐτελῶς; but Socrates would not have expressed himself as if the value of the knowledge which the children of Callias derived from Evenus consisted in its cheapness, πέντε μνῶν, supr. The

διδάσκει. ἐγὼ γοῦν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα· ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

§. 5. Ὑπολάβοι οὖν ἄν τις ὑμῶν ἴσως, Ἀλλ' ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δή που σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν, εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί. λέγε οὖν ἡμῖν τί ἐστιν, ἵνα μὴ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. Ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων, κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι τί ποτ' ἔστι τοῦτο ὃ ἐμοὶ πεποίηκε τό τε ὄνομα καὶ τὴν διαβολήν. ἀκούετε δή. καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν, εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα

reading in the text is decidedly preferable: ἐμμελῶς, from μέλος, signifying literally, *harmoniously*, and thence *suitably, tastefully, &c.* Socrates meaning at the same time to convey an ironical compliment upon the zeal of Evenus, which led him to rate his instructions in such important branches of education, at a price so far below what has been already mentioned as demanded by others. STALL. ἐμμελῶς, Hesych. interpret. προθύμως. FISCH.

Ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν.] *I should have plumed and prided myself.* Fischer explains it; *gloriando me efferrem, jactarem me magnifice*, and refers both these expressions to that species of superfluous ornament in dress, less indicative of taste than effeminacy. Hesych. Suid. Phavor. hh. vv.

Ἀλλ' οὐ γὰρ ἐπίσταμαι.] h. e. ἀλλ' οὐ δύναμαι καλλύνεσθαι καὶ ἁβρύνεσθαι· οὐ γὰρ ἐπίσταμαι. v. ad cap. 3. STALL.

§. 5. Πόθεν.] Ficinus appears to have read καὶ πόθεν, *et unde*, &c. Lat. interpr.

Οὐδὲν τῶν ἄλλων περιττότερον.] h. e. *nihil curiosius quam ceteri.* STALL.

Ἔπειτα.] Εἶτα and ἔπειτα signify both *afterwards, thereupon*, and both are often used to express *reproaches in a scolding manner*, the motive of *anger* or *surprise* having been first stated. Buttmann's Intermed. Gr. Gr. p. 400; see also 144. *Obs.* 6. and Herm. *ad Viger. n.* 239.

Εἰ μή τι ἔπραττες, κ. τ. λ.] This may be considered merely as emphatic, the condition having been expressed in the beginning of the sentence, οὐ γὰρ δήπου, κ. τ. λ. Stallbaum explains the passage, *Non orta esset, opinor, hæc de te fama, quæ tamen revera orta est, nisi alia ageres atque alii;* as if the sentence in full were, λόγος γέγονεν, ὃς οὐκ ἂν ἐγένετο, εἰ μή τι ἔπραττες, κ. τ. λ. See Matthiæ Gr. s. 508. Obs. 2. extr. and s. 636. init.

Αὐτοσχεδιάζωμεν.] Αὐτοσχεδιάζειν, *to act thoughtlessly or precipitately;* applied in the text in reference to such judges as are apt to form hasty and unfounded decisions.

Τό τε ὄνομα καὶ τὴν διαβολήν.] Ὄνομα refers to the reputation of Socrates; διαβολήν to the calumnies of his adversaries. Muretus, Varr. Lectt. vii. 16. compares ποιεῖν ὄνομα with the Latin *famam conficere.*

ἔσχηκα. ποίαν δὴ σοφίαν ταύτην; ἥ πέρ ἐστιν ἴσως ἀνθρωπίνη σοφία. τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω ὅ τι λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι, ἀλλ' ὅς τίς φησι, ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδ' ἐὰν δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστι σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε

Μείζω τινὰ ἢ κατ' ἄνθρωπον.] *Majorem sapientiam quam quæ in hominem cadat: sapientiam humana excellentiorem.* FISCH. When it is not a substantive that is compared with another, but the quality of a thing expressed by an adjective that is considered in its proportion to another quality, and compared in degree with it, (where in Latin *quam pro* is used), then ἢ κατά or ἢ πρός is put after the comparative. Matthiæ Gr. a. 449.

Ἢ οὐκ ἔχω ὅ τι λέγω.] *Alioqui non habeo quod de ea dicam.* STEPH. Forster would prefer ἤν οὐκ, κ. τ. λ. as if Socrates were at a loss by what name he should call this greater than human wisdom of the sophists. But the text is more likely to be correct as it stands; for Socrates, who was liberal of his irony whenever it could be introduced with effect, may be fairly considered to have purposely placed the sophists in a dilemma, as being either possessed of divine wisdom, or none at all. FISCH.

Ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει.] h. e. *mei calumniandi causa*, STALL. ἐπὶ frequently signifying *with the prospect*, or *in order to*. Matthiæ Gr. s. 585. The possessive pronouns are equivalent in signification to the genitives of the personal pronouns, Matthiæ Gr. 466, as appears in the above passage; so Homer, Odyss. xi. 202, σὸς πόθος. Iliad. xix. 320. ν. 336, ἐμὴν ἀγγελίην, i. e. περὶ ἐμοῦ. Sophocl. Œd. t. 969, τῷ ἐμῷ πόθῳ. Plat. Gorg. εὐνοίᾳ τῇ σῇ. Compare also Sallust. Jug. c. 14. "Vos in mea injuria despecti estis." Liv. ii. 1, "regium metum" for "metu regis," and iii. 16, "terrorem servilem" for "terrore servorum."

Μέγα λέγειν.] h. e. *admirabile quid dicere.* STALL.—Οὐ γὰρ ἐμὸν ἐρῶ τὸν λόγον. By this Socrates intends to remove all appearance of presumption or self-sufficiency on his part, and so to conciliate the good will, while he commands the attention of his auditors. Cf. Horat. Sat. ii. 2. 2. "Nec meus hic sermo est."

Ἀξιόχρεων.] Properly *solvent*, one to whom money may be safely entrusted; hence, as in the text, *creditable*. So the Latin *locuples* is asserted of a *competent witness*. Hesych. ἀξιόχρεως, ἀξιόπιστος. Suid. ἀξιόχρεως· ἱκανός, ἐχέγγυος, ἀξιόπιστος.

Τῆς γὰρ ἐμῆς—καὶ οἵα.] h. e. παρέξομαι γὰρ ὑμῖν τὸν θεὸν τὸν ἐν Δελφοῖς μάρτυρα τῆς ἐμῆς σοφίας, εἰ δή τίς ἐστιν, καὶ οἵα ἐστιν. v. Krüger. de Attract. p. 202. STALL.—Ὁ θεὸς ὁ ἐν Δελφοῖς. Interpr. Schol. Thucyd. i. 134. ὁ Ἀπόλλων. Nep. Pausan. v. 5. "deus Delphicus." FISCH.

Χαιρεφῶντα.] Χαιρεφῶν οὗτος ὁ Σωκρατικὸς ἰσχνὸς ἦν καὶ ὠχρὸς, τὸ δὲ ἦθος συκοφάντης καὶ κόλαξ, πρὸς δὲ καὶ κλέπτης καὶ αὐχμηρὸς, τὴν δὲ περιουσίαν πένης. Εὔπολις μὲν οὖν ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον αὐτὸν καλεῖ, Ἀριστοφάνης δ' ἐν Ὄρνισι νυκτερίδα· ἐν δὲ Τελμισσεῦσιν

ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειε. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι,—καὶ ὅ περ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες. ἤρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε.

εἰς αὐχμηρὸν καὶ πένητα· Εὔπολις δ' ἐν Κόλαξιν Καλλίου κόλακα λέγει, Ἀριστοφάνης δ' ἐν Δράμασι κλέπτην. ἐν δ' Ὥραις νυκτὸς αὐτὸν παῖδα καλεῖ. SCHOL. v. Aristoph. Nub. 104. 501. sqq. Xenoph. Memorab. ii. 3.

Ὑμῶν τῷ πλήθει ἑταῖρος.] Lysias, Orat. adv. Agorat. pp. 94. 96. 99. 100. 108. makes frequent use of the term πλῆθος in reference to the advocates of the popular cause, in which sense it is to be understood in the text—Ξυνέφυγε τὴν φυγὴν ταύτην. Upon the capture of Athens by Lysander, and his subsequent appointment of the thirty tyrants, a great concourse of the Athenians, disgusted with their government, retired to Thebes and Megara, whence they soon afterwards returned under the conduct of Thrasybulus, and restored the republic. Xenoph. Hist. Græc. ii. Diod. Sic. xiv. The φυγὴ took place a. 1. Olymp. 94; the return to the city, a. 4. Olymp. 94. Meursius de Archont. iii. 13. 15; and Socrates drank the hemlock a. 1. Olymp. 95. Laert. ii. 44. Gellius, xvii. 21. whence τὴν φύγην ταύτην; expressive of a recent event. The verbs κατιέναι and κατέρχεσθαι are commonly applied to those who return from exile to their native land. So Tho. Magister and Phavor. Κατέρχομαι, ὅταν εἰς τὴν πόλιν, ἀφ' ἧς ἐξῆλθον, ἐπανέλθω. Schol. Arist. ad Rann. 1196: ἰδίως δὲ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ κατέρχεται.

Χαιρεφῶν.] ὁ Χαιρεφων, BECK. *Chærephon ille.*

Μαντεύσασθαι.] Μαντεύεσθαι, h. l. est oraculum sibi edi jubere, h. e. *consulere, interrogare, sciscitari.* STALL.

Ὅ περ λέγω.] This phrase is to be taken parenthetically: Plato frequently using ὅ περ λέγω or ὁ λέγω in reference to an expression not long preceding; it is to be understood in the text as alluding to the θορύβησις, which Socrates had already deprecated more than once. Hence Stephanus would read, καὶ (ὅπερ λέγω) μὴ θορυβεῖτε, as in Crit. ὥστε (ὅπερ λέγω) μήτε, ταῦτα φοβούμενος, ἀποκάμῃς σῶσαι σαυτὸν, κ. τ. λ. So in Apol. εἰ οὖν με (ὅπερ εἶπον) ἐπὶ τούτοις ἀφίοιτε, κ. τ. λ. The other mode of construction by which ὅπερ should be made to depend on θορυβεῖτε, is harsh, and at variance with its ordinary government in its present sense: θορυβῶ πρὸς τοῦτο, or ἐπὶ τούτῳ, τούτου ἕνεκα, or ἐπιθορυβῶ τούτῳ, are among its received forms, in which it will seldom be found with a simple accusative.

Ἤρετο γὰρ δή, εἴ τις.] When the Greek writers resume their subject after a parenthesis, they generally repeat the same verb, or one similar in substance to that which had preceded the interruption, with the addition of a particle γάρ, δή, or οὖν. Matthiæ Gr. s. 615. s. 616.

Ἀνεῖλεν.] Ἀναιρεῖν, *to make an oracular response;* Xen. Mem. i. 3. 1, *announce oracularly.* In Herodot. freq. *to lift up the voice,* (φωνην, or a similar word, underst.) and so *deliver an oracle* or *prophecy,* the voice rising from the depth of the sanctuary. Donn. Gr. Lex. According to Laertius, ii. 37, the response of the oracle was, Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.—Schol. Aristoph. Nub. 144. Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης· Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος. Socr. in Xen. Apol. c. 14. ἀνεῖλεν ὁ Ἀπόλλων, μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε ἐλευθεριώτερον, μήτε δικαιότερον, μήτε σωφρονίστερον.

Ἀδελφὸς.] Chærecrates. Xen. Memor. ii. 3.

§. 6. Σκέψασθε δὲ ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ ὑμᾶς διδάξειν ὅθεν μοι ἡ διαβολὴ γέγονε. ταῦτα γὰρ ἐγὼ ἀκούσας ἐνεθυμούμην οὑτωσί, Τί ποτε λέγει ὁ θεός, καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν ποτὲ λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ δή που ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. καὶ πολὺν μὲν χρόνον ἠπόρουν τί ποτε λέγει, ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην· ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴ πέρ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ ὅτι Οὗτός γ' ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον—ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον ὦ ἄνδρες Ἀθηναῖοι—καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ. κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς τῶν παρόντων. πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην ὅτι Τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι,

§. 6. Αἰνίττεται.] Hesych. Αἰνίττεται· ἀσήμως λέγει, ἀποτείνεται, ἐπισημαίνει. Phavor. Αἰνίττεται, ἀντὶ τοῦ δηλοῖ.

Ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν.] So Eurip. Med. 495. ξυνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν: the participle being put in the nominative, because the same subject is continued in the person of the verb. See Matthiæ Gr. s. 548.

Ψεύδεται.] The Delphian oracle was in such high repute for veracity, that Τὰ ἐκ τρίποδος, the responses given from the tripod, came to be proverbially adopted as infallible truths. See Potter's Grec. Antiq. 1. c. ix.

Τί ποτε λέγει.] Fisch. λέγοι: but instances of similar transitions to that in the text, from the *obliqua oratio* to the *oratio recta*, are of frequent occurrence with the Greek writers, who in narration consider the main verb as well as the accompanying circumstances of an event as present, and hence use the present indic. Matthiæ Gr. s. 529. 5.

Αὐτοῦ.] sc. χρησμοῦ, or some word of similar import, which is implied in the preceding τί ποτε λέγει. Præfat. ad Welleri Gr. p. 9. s. Fisch.

Πρὸς ἐμαυτὸν—ἐλογιζόμην.] h. e. *Mecum cogitabam.* Stall. As in Phæd. c. 45. πρὸς ἐμαυτὸν σκεψάμενος.

Οὐδὲν καλὸν κἀγαθόν.] *Neque bonum neque honestum*; h. e. *uterque nostrum videtur plane stultus esse, omnisque omnino sapientiæ expers.* Fisch.

ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δὲ ὥς περ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι. ἔοικα γοῦν τούτου γε σμικρῷ τινὶ αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ἦα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καὶ μοι ταὐτὰ ταῦτα ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

§. 7. Μετὰ ταῦτ' οὖν ἤδη ἐφεξῆς ἦα, αἰσθανόμενος μὲν καὶ λυπούμενος καὶ δεδιὼς ὅτι ἀπηχθανόμην, ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι· ἰτέον οὖν, σκοποῦντι τὸν χρησμὸν τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι,—δεῖ γὰρ πρὸς ὑμᾶς

Ὡς περ οὖν οὐκ οἶδα.] See Matthiæ Gr. s. 625.

Σμικρῷ τινὶ αὐτῷ, κ. τ. λ.] Cic. Academ. 1. 4. "Socrates ita disputat, ut—nihil se scire dicat nisi id ipsum, eoque præstare ceteris, quod illi quæ nesciant scire se putent, ipse se nihil scire id unum sciat; ob eamque causam se arbitrari ab Apolline omnium sapientissimum esse dictum, quod hæc esset una hominis sapientia, non arbitrari sese scire quod nesciat."

Πολλοῖς ἀπηχθόμην.] Hence Laertius records of Socrates, ii. 21. πολλάκις δὲ βαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον κονδυλίζεσθαι καὶ παρατίλλεσθαι, τὸ πλέον τε γελᾶσθαι καταφρονούμενον, καὶ πάντα ταῦτα φέρειν ἀνεξικακῶς.

§. 7. Ὅτι ἀπηχθανόμην.] This is to be referred not merely to δεδιὼς, but to αἰσθανόμενος and λυπούμενος preceding; hence Wolf correctly explains the passage; *videns quidem et dolens invisum me fieri, atque ob id metuens.* STALL.

Τὸ τοῦ θεοῦ.] The neuter of the article is often put absolutely, with the genitive of a substantive, and in that case signifies every thing to which the substantive, which is put in the genitive, refers, all that concerns it, that arises from it, that belongs to it. Eurip. Ph. 415. τὰ φίλων δ' οὐδὲν, ἢν τις δυστυχῇ, *the assistance of friends is nothing*, &c. *Ib.* 393. δεῖ φέρειν τὰ τῶν θεῶν, *the visitation of the gods.* Matthiæ Gr. s. 284.

Νὴ τὸν κύνα.] The opinions of both ancients and moderns upon the origin and efficacy of this and other equally strange oaths, by the oak, plane tree, &c. of which the philosopher frequently made use, are various and undecided. Some have supposed that the dæmon of Socrates was intended by the dog; Pet. Petit. Observatt. Miscell. 4. 7. Others, that the dog was sworn by as the emblem of fidelity; Joach. Camerar. Opusc. de R. R. p. 28; and that consequently νὴ τὸν κύνα was equivalent to the Latin *medius fidius.* Olympiodorus, in Vit. Platon. ex Gorg. explains it of the Egyptian deity Anubis. Forster coincides with those who imagine that Socrates adopted these oaths after the example and upon the authority of Rhadamanthus, who avoided swearing by the gods themselves. So the Scholiast: Ῥαδαμάνθυος ὅρκος οὗτος ὁ κατὰ κυνὸς ἢ χηνὸς ἢ πλατάνου ἢ κριοῦ ἢ τινος ἄλλου τοιούτου. Οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων, ἔπειτα χήν· θεοὺς δ' ἰσίγων· Κρατῖνος ἐν Χείροσι. κατὰ τούτων δὲ νόμος δμνύναι, ἵνα μὴ κατὰ θεῶν οἱ ὅρκοι γίγνωνται. τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι. There are some, however, who imagine that Socrates used such oaths in ridicule of the generally received divinities.

τἀληθῆ λέγειν—ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν, ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι, ὥς περ πόνους τινὰς πονοῦντος, ἵνα μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. Μετὰ γὰρ τοὺς πολιτικοὺς ἦα ἐπὶ τοὺς ποιητὰς τούς τε τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς ἄλλους,

Ἔπαθόν τι τοιοῦτον· οἱ μὲν μάλιστα—.] Sentences which are subjoined for the sake of explanation, are frequently added without the connexion of any conjunctive particle, as in the passage above: so in Phæd. *τί δ' οἱ κόσμιοι αὐτῶν; οὐ ταὐτὸν τοῦτο πεπόνθασιν· ἀκολασίᾳ τινὶ σώφρονές εἰσι;*

Ζητοῦντι κατὰ τὸν θεόν.] *Ζητεῖν κατὰ τὸν θεόν*, est *explorare aliorum sapientiam, auctore Apolline.* FISCH. For by the oracular sanction, which conferred upon Socrates the precedency in wisdom, he was bound to investigate the claims of others so as to justify the judgment which had been pronounced upon his own.

Πλάνην.] Mœris: Πλάνος, Ἀττικῶς· πλάνη, Ἑλληνικῶς. Fischer supposes, that in *πλανην* some allusion is conveyed to the wanderings of Ulysses, which he asserts to be still further shadowed forth by the addition of *ὥς περ πόνους τινὰς πονοῦντος*; the wanderings and toil of the philosopher in his efforts to establish the veracity of the deity, bearing a remarkable analogy to the perilous adventures of the Ithacan prince. Forster imagines that Hercules is the intended parallel.

Ἵνα μοι καὶ ἀνέλεγκτος. κ. τ. λ.] *Ἵνα μή μοι καὶ ἀνέλεγκτος, κ. τ. λ.* STEPH. who explains the passage; *Operæ pretium est vobis ostendere quantum oberraverim ne comperiretur oraculum esse ejusmodi quod a me refelli non posset;* as Socrates had previously expressed his intention of endeavouring to confute the oracle; *ελεγξων τὸ μαντειον, κ. τ. λ.* c. 6. But the text as it stands appears unobjectionable: for Socrates, unwilling to distrust the deity, and yet amazed that he should have been the object of his singular approval, engaged freely in all the difficulties connected with the ultimate discovery of the truth, in order that his own experience might lead to a satisfactory conviction, i. e. *ἵνα—ἀνέλεγκτος ἡ μαντεία γενοιτο*; *that the prediction might be incontrovertible.* So V. Cousin. "Mais il faut achever de vous raconter mes courses et les travaux que j' entrepris *pour m' assurer de la vérité de l'oracle.*"

Τῶν διθυράμβων] Suid. *Διθύραμβος, ὕμνος εἰς Διόνυσον*, i. e. Dithyramb means the Bacchic hymn. The first author of the Dithyramb was, according to some, Lasus Hermionensis, in the time of the first Darius; according to others, Arion Methymnæus, in the time of Periander. But as it appears from Pindar and his scholiast, Pind. Olymp. xiii. the antiquity of it was so great that the inventor could not be known; the very word occurring in these Dithyrambic verses by Archilochus, who was prior to both Lasus and Arion; *Ὡς Διωνύσοι' ἄνακτος καλὸν ἐξάρξαι μέλος Οἶδα Διθυράμβον, οἰνῳ συγκεραύνωθεις φρένας*, Athen. p. 628. The etymology of the word is doubtful as its import; various derivations have been assigned it, which are registered by Gerard Vossius in his Institutio Poetica, iii. 16. 2. The most common etymology is *διθύραμβος* for *διθύραμος*, *double-doored*, i. e. *he who has passed through two doors*; in which term allusion is supposed to be made to the double birth of Bacchus—from the womb of Semele and the thigh of Jove. For a copious account of the Dithyramb, see the Theatre of the Greeks, edit. 3. 1830. from which admirable work, and indispensable to the classical student, this note was compiled.

ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἃ μοι ἐδόκει μάλιστα πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτοὺς τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν ὀλίγου αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ πεποιήκεσαν. ἔγνων οὖν αὖ καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι ἐφάνησαν πάθος καὶ οἱ

Ἐπ' αὐτοφώρῳ.] Schol. *ἐπ' αὐτόκτω, ἐπ' ὄψει.* Suid. *ἐπ' ὀφθαλμοῖς.*

Ἃ μοι ἐδόκει—πεπραγματεῦσθαι αὐτοῖς.] h. e. *quæ ab iis maxima diligentia composita videbantur.* Stall. Διηρώτων ἄν. The part. ἄν frequently gives to the *indic.* the signification of *being habitual, customary;* Demosth. *pro Cor.* 301. *None of the ancient orators has been of such a various influence,* ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραφε, it was not usual for him, who proposed laws, to be an ambassador, and *vice versa.* Compare also Soph. *Philoct.* 290. 92. Buttmann's Intermed. Gr. Gr. s. 139. *Obs.* 5.

Αὐτῶν.] This genitive depends on the comparat. βέλτιον, and refers to the poets; it is omitted by Ficinus. Fisch. Οἱ παρόντες ἂν βελτιον, κ. τ. λ. *Omnes qui aderant, melius istis de carminibus solebant judicare, quæ illi ipsi composuerant.* Stall. So V. Cousin: *De tous ceux qui étaient là présens, il n'y en avait presque pas un qui ne fût capable de rendre compte de ces poëmes mieux que ceux qui les avaient faits.* Wolfe renders οἱ παρόντες, *qui hic adsunt,* as if it referred to the judges; incorrectly, for Socrates evidently alludes to those who were present at his discussion with the poets.

Ἐν ὀλίγῳ.] Acts, xxvi. 28. ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι; where Michaelis understands χρόνῳ, so as to make the signification *in a short time,* which is equivalent to the ordinary interpretation, *almost.* Blackwall in Class. Sacr. v. 2. p. 84. Ficinus correctly renders ἐν ὀλίγῳ, *brevi.*

Ποιοῖεν.] Stephens omits ἃ ποιοῖεν; which is found, however, in all other copies, and translated as part of the text by Ficinus and Serranus. Fischer supposes the omission to have occurred not by the direction of Stephens, but by the negligence of the transcribers, which was not subsequently remedied.

Φύσει τινὶ, κ. τ. λ.] So Cic. p. Archia. 8. "Poetam natura ipsa valere, et mentis viribus excitari, et quasi divino quodam spiritu inflari." Compare also Horat. A. P. 408. "Natura fieret laudabile carmen an arte." Carm. iv. 3. "Quem tu Melpomene, &c." Ἐνθουσιάζοντες. Ovid. Fast. vi. 6. "Est Deus in nobis; agitante calescimus illo."

Τοιοῦτον τί μοι ἐφάνησαν πάθος.] Hence the strictures of Aristophanes upon the dithyrambic and tragic poets, in Avib. 1388. Τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίνεται Ἀέρια καὶ σκότιά γε καὶ κυνανυγία Καὶ πτεροδόνητα, κ. τ. λ.; and his Scholiast in loc. πλείστη γὰρ αὐτῶν ἡ λέξις τοιαύτη· ὁ δὲ νοῦς ἐλάχιστος· ὡς ἡ παροιμία· Καὶ διθυραμβοποιῶν νοῦν ἔχεις ἐλαττόνα. Forst.

ποιηταὶ πεπονθότες. καὶ ἅμα ἠσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῆα οὖν καὶ ἐντεῦθεν, τῷ αὐτῷ αὐτῶν οἰόμενος περιγεγονέναι, ᾧ περ καὶ τῶν πολιτικῶν.

§. 8. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα· ἐμαυτῷ γὰρ ξυνῄδειν οὐδὲν ἐπισταμένῳ ὡς ἔπος εἰπεῖν, τούτους δέ γ' ἤδη ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην καί μου ταύτῃ σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅ περ καὶ οἱ ποιηταί, καὶ οἱ ἀγαθοὶ δημιουργοί· διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σοφώτατος εἶναι, καὶ αὐτῶν αὕτη ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν. ὥστ' ἐμὲ ἐμαυτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως ὥς περ ἔχω ἔχειν, μή τέ τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι

Ἠισθόμην αὐτῶν—εἶναι ἀνθρώπων.] The verbs *αἰσθάνεσθαι, πυνθάνεσθαι, γινωσκειν*, are sometimes found with the genitive, instead of the accusative, which otherwise is the more usual case with them; e. g. *Thuc.* 5. 83. *ὡς ᾔσθοντο τειχιζόντων. Plat. Apol. Soc.* c. 7. *ᾐσθόμην—οἰομένων*, for *αὐτοὺς τειχίζοντας, οἰομένους*, " that they were erecting a wall," " that they thought." Matthiæ Gr. s. 349. Obs. 2. Buttmann, L. Gr. Gr. s. 132. "A *οὐκ ἦσαν*, sc. *σοφοί*. STALL.

§. 8. Ἐμαυτῷ γὰρ ξυνῄδειν.] See Matthiæ Gr. s. 548. 2.

Ἤιδη.] See cap. 19. n. *ἀπολώλη*.

Τούτου μὲν οὐκ ἐψεύσθην.] See Matthiæ Gr. s. 332. s. 338.

Διὰ τὸ τὴν τέχνην.] Steph. *διὰ γὰρ τὸ τὴν τέχνην*, to which the Latin of Ficinus is accommodated.

Καὶ τἆλλα τὰ μέγιστα, κ. τ. λ.] Forster justly observes that Socrates makes an ironical allusion here to the administration of the republic, which in his own time was vested in the most opulent, and generally the most ignorant; whose vain and ridiculous ambition incurred not only the derision of the philosophers, but afforded a copious subject to the comic poets for the exercise of their most poignant wit. See Mitford's Greece, ed. 1829. vol. iv. pp. 132. 133. sqq.

Πλημμέλεια.] Lit. *a violation of the rules of harmony*; hence *a fault, transgression, oversight.—ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν*; h. e. *error ille atque stultitia scientiam istorum hominum ac sapientiam ita quasi obscurabat, ut hæc nulla esse videretur.* STALL.

Ὑπὲρ τοῦ χρησμοῦ] *In the name* or *behalf of the oracle.—πότερα δεξαίμην κ. τ. λ. whether I should prefer to continue as I am.* Δεχομαι, cum infinit. exp. *volo*, sicut et *οὐ δεχομαι, nolo.*—Scap. Lex.

Ἀμαθὴς τὴν ἀμαθίαν.] Sc. *αὐτῶν*, i. e. *the artizans.—ἀμφοτερα*, intell. *σοφίαν καὶ ἀμαθίαν.*

ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελοῖ, ὥς περ ἔχω ἔχειν.

§. 9. Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι. οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφὸν ἃ ἂν ἄλλον ἐξελέγξω. τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ φαίνεται ταῦτ' οὐ λέγειν τὸν Σωκράτην, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα

§. 9. *Καὶ οἷαι χαλαπώταται.*] h. e. *longe gravissimæ et acerrimæ.* STALL. *τοιαῦται* being understood before *οἷαι*; Xenoph. Mem. iv. 8. 11. *ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος.* See Matthiæ Gr. s. 461. Viger. de Idiot. sec. 8. v. vi.

Τὸ δὲ κινδυνεύει κ. τ. λ.] h. e. *quum tamen revera deus videatur sapiens esse.* STALL. *τὸ δὲ* is an elliptical expression, not easily supplied, which introduces a proposition opposed to what has been stated before, nearly like the English *as however, but as yet.* Heind. ad Plat. Theæt. 37. Buttm. *ad Menon.* 37. and Int. Gr. Gr. s. 150. Sometimes, however, it is more fully expressed; De Repub. iv. p. 443. *τὸ δέ γε ἀληθές, τοιοῦτον μέν τι ἦν—ἡ δικαιοσύνη.* Tim. p. 86. *τὸ δὲ ἀληθές, ἡ περὶ τὰ ἀφροδίσια ἀκολασία—νόσος ψυχῆς γέγονε*: in which sense it is to be taken in the text; *but as yet truly the Deity, &c.* "Etenim articulus cum *δὲ* conjunctus indicat id, quod alii cuidam ita opponitur ut pro vero haberi debeat." STALL.

Τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι.] This was in reality the grand point which Socrates was labouring to prove; the mere nothingness of human wisdom contrasted with the divine intelligence. Lactant. de Ira Dei, c. i. 7. "Vidit (Socrates) ex parte aliqua veritatem, testatusque est etiam in judicio, sicut traditur a Platone, quod nulla esset humana sapientia."

Καὶ οὐδενὸς.] *Et vero,* sc. *immo nullius pretii.* STALL. Ruding. p. 217. *ἢ καί*, or *ἢ καὶ μᾶλλον οὐδ.*; incorrectly, for *καί* by itself has the force of *atque adeo, immo, vero;* as c. 16. *ὅτου τι, καὶ σμικρὸν, ὄφελός ἐστιν.* Besides *ἢ καί* and *ἢ καὶ μᾶλλον* are not conformable to the rules of Greek construction, which would require *μᾶλλον δέ*, or *ἤ* simply; for *ὀλίγον ἢ οὐδέν* and *ὀλίγον καὶ οὐδέν*, with similar forms, occur frequently in the best writers: so infr. c. 10. *εἰδότων δὲ ἢ ὀλίγα ἢ οὐδέν.* FISCH.

Καὶ φαίνεται τοῦτ' οὐ λέγειν.] h. e. *atque videtur* (sc. Deus) *non de Socrate hoc dicere.* STALL. *τοῦτο* being referred to *σοφὸν εἶναι. Λέγειν τινά* for *λέγειν περί τινος*, is a usual form with Attic writers: Cf. in Criton. *φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς.* Aristoph. Acharn. v. 593. *ταυτὶ λέγεις σὺ τὸν στρατηγόν.* Some editions for *τοῦτ' οὐ* read *τοῦτον λέγειν τὸν Σ.* as if it should be understood *δεικτικῶς* for *ἐμέ*; but the adversative particle in the succeeding member of the sentence manifestly requires the negative *οὐ*, as in the text. Other editions read *τοῦτο*, as referring to the oracle, or propose *τούτου*, depending upon *ἕνεκα* or *χάριν* understood, which appears to have been adopted by Ficinus; Lat. Interpr.; however the objection already stated holds good against all but the adopted reading.

ποιούμενος, ὥς περ ἂν εἰ εἶποι ὅτι Οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅς τις ὥς περ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔ τέ τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων, ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν.

§. 10. Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἑπακολουθοῦντες, οἷς μάλιστα σχολὴ ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀν-

Ὡς περ ἂν εἰ.] *As if*—these particles, in construction, take the opt. in cases merely supposed, but in such a way that *ἄν*, which precedes *εἰ*, refers to an opt. in the apodosis of the conditional proposition. *Dem. pro. Cor.* p. 293. 1. *ὥσπερ ἂν εἴ τις ναύκληρον τῆς ναναγίας αἰτιῷτο, ἀλλ' οὐδ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν*, where *ὥσπερ ἂν φήσειεν ἄν* are to be taken together, as *Plat. Gorg.* p. 465. C. *καὶ γὰρ ἂν εἰ....τὸ σῶμα ἔκρινε, τὸ τοῦ Ἀναξαγόρου ἂν πολὺ ἦν.* Matthiæ Gr. Gr. s. 523. 2. So the Latins use both *quasi* and *quasi si*; Plaut. Asin. v. 1. 11; as *nisi si* and *nisi*; Drakenb. ad Liv. vi. 26. 5. p. 376. tom. ii.; in imitation of the Greek *ὥσπερ ἂν* and *ὥσπερ ἂν εἰ, ἂν μὴ* and *ἂν εἰ μή*.—FISCH.

Τῶν ἀστῶν—τῶν ξένων.] These genitives depend on *τίνα* following.

Τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι.] h. e. *Id agens, ut appareat responsum Apollinis esse verum.* STALL. Ἀσχόλια, Thom. Mag. *ἡ περί τι ἀναστροφή.* h. e. *occupatio, studium quod in aliqua re ponitur.* Ip.

Ἐν πενίᾳ μυρίᾳ.] *In the greatest poverty.* *πενία* and *πτωχεία* differ as the Latin *paupertas* and *egestas*; *πενία*, consequently, is applied to those who are indebted to manual labour, and its attendant wages for their daily support: *πτωχεία*, to mendicants. The poverty of Socrates was such, that he is said to have valued his whole house and substance at five Attic minæ; Xenoph. Œconom. ii. 3; whence he was commonly called Πίνης. Libanius, in Apol. Socr. p. 640., mentions that eighty minæ were bequeathed him by his father, which he lost by some mischance, and ever after lived in distress.

Διὰ τὴν τοῦ θεοῦ λατρείαν.] *On account of my serving the god.* The gen. expresses the object of an action or feeling expressed in another noun, and is used objectively, as in Latin; a relation which in English is expressed by prepositions, e. g. *πόθος υἱοῦ, desiderium filii*, not *thy son's regret*, i. e. which the son has, but *regret for the son*, like *σὸς πόθος*. Od. λ. 202. Soph. Œd. C. 631. *τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι τοιοῦδε, good will towards such a man.* Eurip. Phœn. 1757. *ξυγγόνου ὑβρισμάτα, injuria fratris; insults offered to the brother.* Matthiæ Gr. s. 367. *διὰ τὴν τῷ θεῷ* λ. would answer equally well to express the meaning of the text, such nouns as *λατρεία, ὑπηρεσία*, &c. generally governing the case of the verbs from which they are derived.

§. 10. Οἱ τῶν πλουσιωτάτων.] Socrates uses this expression, in order that the cause of the odium against him may be made more apparent.

θρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν· κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ἢ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, οὐχ αὑτοῖς, καὶ λέγουσιν ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ διαφθείρει τοὺς νέους. καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν ἀλλ' ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς, καὶ θεοὺς μὴ νομίζειν καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν· τὰ γὰρ ἀληθῆ,

Μιμοῦνται.] Fisch. *μιμούμενοι*; (as *εἶτα, ἔπειτα, τότε,* and *οὕτως* are elegantly subjoined to participles: Matthiæ Gr. s. 608,) which has been adopted by Ficinus; but *εἶτα* and *ἔπειτα* are frequently used for *καὶ εἶτα* and *καὶ ἔπειτα,* in constructions similar to that in the text, where *εἶτα* has the force of *καὶ τότε, and then.*

Ἐπιχειροῦσι ἄλλους ἐξετάζειν.] This practice of the young men, and the indifferent repute in which philosophy came to be consequently held by the vulgar, has been thus forcibly described by Socrates; Plat. De Rep. vii. 148. Οἶμαι γὰρ σε οὐ λελῆθέναι ὅτι οἱ μειρακίσκοι, ὅταν τὸ πρῶτον λόγων γεύωνται, ὡς παιδιᾷ αὐτοῖς καταχρῶνται, ἀεὶ εἰς ἀντιλογίαν χρώμενοι· καὶ μιμούμενοι τοὺς ἐλελέγκοντας, αὐτοὶ ἄλλους ἐλελέγχουσι, χαίροντες, ὥσπερ σκυλάκια, τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λογῷ τοὺς πλησίον ἀεί—καὶ ἐκ τούτων δὴ αὐτοί τε καὶ τὸ ὅλον φιλοσοφίας πέρι εἰς τοὺς ἄλλους διαβέβληνται. Forst.

Δὲ ἢ ὀλίγα ἢ οὐδέν.] Stallbaum prefers *δὲ ὀλίγα ἢ οὐδέν,* as more emphatic, explaining *ἢ, aut potius.* So Plat. Phædr. p. 244. B. *βραχέα ἢ οὐδέν.* Alciphron. iii. 4. *ὀλίγα ἢ οὐδὲν διαφέρουσι.*

Ἀλλ' οὐκ αὐτοῖς.] sc. *Quod se erroris et inscitiæ ab illis coargui patiantur.* Stall., who thus explains the passage, which contains a bitter irony: *mihi isti succensent, quum tamen sibi potius debeant, ut qui se patiantur refutari ab illis adolescentulis.* The sentence is far more effective in this way than by adopting with Stephens, Ficinus, and others, the common reading *οὐκ αὐτοῖς*; which should probably have been *οὐκ ἐκείνοις,* had Socrates intended to refer to the youths.

Ὅτι τὰ μετέωρα.] Steph. *ὅτι τὰ μ. καὶ τὰ ὑπὸ γῆς ζητεῖ καὶ θεοὺς μὴ νομίζει καὶ τ. ἡ. λ. κρ. ποιεῖ*; but this reading is at variance with that adopted by the greater number of copies, which sanction the text as supr., and seems to have arisen from an attempt to make the passage more obviously intelligible; which, however, is easily effected by repeating *διδάσκων* at the end of the sentence; Gell. Biblioth. Crit. Nov. Libr. iv. 417.; by which it becomes the commonplace answer which Socrates asserts to have been generally given, for want of a better, to the question *ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων*: a preceding construction being a very general cause of a deviation from the regular construction, whence that used in the question is continued in the answer. Matthiæ Gr. s. 631. 2. extr. Ficinus has adopted the reading of Stephens, omitting *ζητεῖ,* and making *τὰ μ. καὶ τὰ ὑπο γης* depend, with *θεοὺς,* upon *μὴ νομιζει,* which is evidently at variance with the sense of the passage.

Τὰ γὰρ ἀληθῆ, κ. τ. λ.] h. e. *For I imagine, they would be unwilling to confess the truth, that they are convicted of*

οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντεταγμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλιτός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλιτος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν, Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων. ὥστε, ὅ περ

οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥς περ καὶ ἄλλος τις καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν μέντ' ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος σοφὸς εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω

mula of Pallene with Macedonia, where it bordered on Thrace. While the Athenians were before the town a skirmish occurred, in which Alcibiades, who, though still very young, had joined the expedition, was wounded, and his life preserved by Socrates, who managed to have the prize of valour, which he had manifestly earned himself, bestowed upon his favourite pupil. V. Laert. ii. 22. sqq. Athen. iv. 15. Cic. de Divin. 1. 54. Plut. Alcibid. Thucyd. 1. 56. sqq.

Ἀπειθῶν τῇ μαντείᾳ.] sc. Τοῦ θεοῦ.

Δοκεῖν γὰρ εἰδέναι—οἶδεν.] Fully: ἔστι γὰρ ἐκεῖνο (sc. τὸ θάνατον δεδιέναι) δοκεῖν εἰδέναι ἃ οὐκ οἶδεν.

Τοῦτο—ἀμαθία ἐστὶν.] Plat. Phædr. p. 245. C. τοῦτο πηγὴ καὶ ἀρχὴ γενέσεως, which Cicero, Tusc. Disp. 1. 23. 53, renders *hic fons, hoc principium est movendi;* so in Phædon. c. 18. sub. fin. τοῦτο δ' ἐστὶν ἀνάμνησις. The neuter of the demonstrative pronoun, as the subject of the proposition, seems to be used when the word to which it refers is to be emphatically distinguished.—Matthiæ Gr. s. 440. 7.—Ἡ τοῦ οἴεσθαι εἰδέναι, *quæ in eo cernitur, ut quis se scire opinetur quæ non sciat.* STALL. Tr. *And how is not this the veriest reprehensible ignorance, this of thinking that one knows, &c.*; so V. Cousin: *que de croire connaitre, &c.*; Cf. Demosth. de Coron. p. 231. l. 1. ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν, εἴτε ἄγνοιαν, εἴτε καὶ ταῦτα ἀμφότερα εἰπεῖν.

Τούτῳ ἄν.] sc. φαίην εἶναι or εἶην.

Ὅτι οὐκ εἰδὼς—οὕτω.] i. q. ὅτι, ὥσπερ οὐκ οἶδα ἱκ. περ. τ. ἐν Ἀιδ. οὕτω καὶ, κ. τ. λ. STALL. Οὕτω often

καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβηθήσομαι οὐδὲ φεύξομαι. ὥστε οὐδ' εἴ με νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν ἢ ἐπειδὴ εἰσῆλθον οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με, λέγων προς ὑμᾶς ὡς εἰ διαφευξοίμην, ἤδη ἂν ὑμων οἱ υἱεῖς ἐπιτηδεύοντες ἃ Σωκράτης διδάσκει πάντες παντάπασιν διαφθαρήσονται,—εἴ μοι πρὸς ταῦτα εἴποιτε Ὦ Σώ-

follows after participles, whose meaning it thus repeats for the sake of emphasis. Matthiæ Gr. s. 610. 7.

Τῷ βελτίονι.] *Ei qui vobis superior præsit.* Serran. περιφραστικῶς. Βελτίων signifying here, one who excels another in authority and influence. So *melior* is used for *potentior*, Horat. Epl. 1. 10. 34. "Cervus equum pugna melior communibus herbis Pellebat," &c.; and those are designated as *Optimates*, who are possessed of the most considerable power in a republic. Stephens renders it *meliori*, or *præstantiori*, which Fischer approves and explains by *sapientiori*, *prudentiori*.

Πρὸ οὖν τῶν κακῶν, κ. τ. λ.] Socrates had just asserted that an unwarrantable disobedience to a better than himself, either god or man, was, in his conviction, both criminal and dishonorable; he now proceeds to say that he never should feel afraid of, or inclined to fly from what, for all he knew, might be a blessing, sooner than feel so affected with regard to those things which he knew to be actually evil. See Matthiæ Gr. s. 575. voc. προ.—Φοβεῖσθαι and φεύγειν πρὸ τῶν κακῶν—ἃ μὴ οἶδα, is used for φοβεῖσθαι μᾶλλον τὰ κακα ἃ οἶδα ὅτι κακά ἐστιν ἢ ταῦτα ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει. STALL.

Ὥστε οὐδ' εἴ με, κ. τ. λ.] Stephens considers this passage as elliptical, and reads and supplies it thus: ὥστε οὐδ' εἰ με νῦν ὑμεῖς ἀφίοιτε θέλοιμι ἂν ὑφ' ὑμῶν ἀφίεσθαι, or ἀξιώσαιμι ἄν, etc. But the force of οὐδ' may either be carried on to the firm refusal of Socrates to alter his conduct, on the condition of his acquittal, or it may be presumed that this is one of the many interruptions familiar to the philosopher, by which the sense was only meant to be suspended during one or more parentheses, and yet was neglected to be afterwards supplied, owing to the greater importance of the subjects thus introduced.

Ἀπιστήσαντες.] Ald. Bas. 1. Norib. ἀπιθήσαντες. Steph. Forst. ἀπειθήσαντες. Bas. 2. ἀπιστήσαντες, sanctioned by Eusebius, and certainly the most correct. For ἀπιστεῖν, ἄπιστος, and ἀπιστία are not merely used in reference to those who *distrust*, *who place no confidence* in others, but to those also who, from this want of confidence, *resist being led* by any whom so they mistrust.

Τὴν ἀρχὴν.] *From the first, at all.*

Ἀποκτεῖναι.] *To condemn to death, vote the death of. Sententiis damnare mortis*, STALL., in which sense it occurs also cap. 18. infr. and Xenoph. Mem. IV. 8. 5, where it is opposed to ἀπολύειν.

Ἤδη ἂν ὑμῶν—διαφθαρήσονται.] Those who could not admit the use of ἄν with the future, have proposed to read διαφθαρήσοιντο: but almost all the editions support the reading in the text. Matthiæ, Gr. s. 599. *d.* states that ἄν is sometimes joined with the indicative of the future, to designate as only probable, that which the future alone would declare decidedly about to happen; but the quotations adduced in proof can be otherwise explained by anacolu-

κρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ μέντοι ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ τῇ ζητήσει διατρίβειν μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι τοῦτο πράττων, ἀποθανεῖ. εἰ οὖν με, ὅ περ εἶπον, ἐπὶ τούτοις ἀφιοιτε, εἴποιμ' ἂν ὑμῖν ὅτι Ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν, καὶ ἕως περ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσομαι φιλοσοφῶν καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος, ὅτῳ ἂν ἀεὶ ἐντυγχάνω ὑμῶν, λέγων οἷά περ εἰωθα, ὅτι Ὦ ἄριστε ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνει ἐπιμελόμενος, ὅπως σοι ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀληθείας καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελεῖ οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισβητήσῃ καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω

tha, various readings, &c. Whence he concludes, that it is even very doubtful whether the genuine Attics ever used ἂν with the future indicative; for this usage is found, in Euripides, only in lyrical passages, and perhaps was still prevalent in the old language. Dawes, Misc. Critic. p. 104, denies that ἂν is used with the future, in which he is followed by most English critics. Brunck and Wolf express themselves doubtfully; App. Crit. ad Dem. Ἀ1. 604. Sept. p. 343. See in Phædon. cap. 5. init. οὐδ' ὑπωστιοῦν ἄν, etc.

Ἐφ' ᾧτε.] For ὥστε, *upon condition that.* This should be, properly, ἐπὶ τούτῳ ὥστε, as Thucydides, 3. 114. says, σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο . . . ἐπὶ τοῖσδε, ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους, &c. Thus ὥστε, *Thuc.* 3. 34. 75. 114. 5. 94. 7. 82. But because the relative properly refers to the demonstrative, so, according to Gr. s. 473, they said ἐπὶ τούτῳ, ᾧ, or ᾧτε, or with the preposition repeated, ἐπὶ τούτῳ, ἐφ' ᾧτε as supr. Matthiæ Gr. s. 479. *a.*

Ἀσπάζομαι μὲν καὶ φιλῶ.] Ἀσπάζεσθαι, *aliquem salutare ita ut eum amplectaris;* φιλεῖν, *salutare aliquem ita ut eum osculeris;* whence the passage in the text means: *grato lætoque animo vestram hunanitatem et clementiam amplector atque veneror.* STALL.

Μᾶλλον τῷ θεῷ.] Stephens compares this passage with Acts, v. 29. πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώποις.—Ἕως περ ἂν ἐμνέω. So Cicero p. red. ad Quir. 10. "dum anima spirabo mea."

Καὶ ἐνδεικνύμενος.] So cap. 9. extr. τῷ θεῷ βοηθῶν ἐνδείκνυμι, ὅτι οὐκ ἔστι σοφός.

Ἰσχύν.] Ficinus has mistaken the sense of this word in explaining it *potentia*, it is here expressive of the *magnanimity* and *resolution* which consist in the contempt of wealth and worldly grandeur. The qualities of the body are not uncommonly affirmed of the mind; so Xenoph. Apol. 34, uses ῥώμη, as synonymous with γενναιότης, s. 33. It is evident, from what Socrates con-

καὶ ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι δέ, ὀνειδιῶ ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου ἐγγυτέρω ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ ἴστε. καὶ ἐγὼ οἶομαι οὔδέν πω ὑμῖν μεῖζον ἀγαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τἆλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ, εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα, φαίην ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ ἢ μή, καὶ ἢ ἀφίετέ με ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

tinues to say, that ἰσχὺν is opposed to a concern about riches and an anxiety for dignity and fame.

Νεωτέρῳ καὶ πρεσβυτέρῳ.] See Matthiæ Gr. s. 415. Obs. 1.

Μᾶλλον δὲ τοῖς ἀστοῖς ὅσῳ μου ἐγγ.] A similar construction occurs, cap. 30. a med. καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσι. Cf. Liv. ii. 51. "Quo plures erant, major cædes fuit." Ovid. Epist. iv. 19. "Venit amor gravius quo serius."

Τῷ θεῷ ὑπηρεσίαν.] See cap. 9. extr. τοῦ θεοῦ λατρείαν.

Μήτε σωμάτων ἐπιμελεῖσθαι, κ.τ.λ.] *Neither to be solicitous for the body nor for riches, prior to, nor with such zeal, as for the soul.* It is impossible not to observe in what grand and beautiful relief these noble sentiments of the philosopher stand out upon the dark ground of pagan superstition. But while this amazing exercise of self-instructed mind may well furnish a subject for surprise and admiration, it must be remembered that reason is but the dawn within ourselves, revelation the day-spring from on high, that can alone mature its light.

Εἰ μὲν οὖν—διαφθείρω—ταῦτ' ἂν εἴη βλ.] See cap. 12. extr. Εἰ εἰς—διαφθείρει.

Ταῦτ' ἂν εἴη βλαβερά.] So Xenophon, of Socrates; πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείρει τοὺς νέους, εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν. Mem. Socr. i. c. 2. 8.

Πρὸς ταῦτα.] *Harum rerum habita ratione, quocirca.* STALL. So Soph. El. 382. πρὸς ταῦτα φράζου, *accordingly, therefore, consider.* Matthiæ Gr. s. 591. β.—Ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος.—For the construction of ἄν with the in-

§. 18. *Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττα ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. Εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς. ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος οὔτε Ἄνυτος. οὐδὲ γὰρ ἂν δύναιτο· οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμάσειεν. ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴε-*

finitive in participle futures, see Matthiæ Gr. s. 599. *d.*

Μέλλω—*τεθνάναι.*] Stallbaum remarks upon this construction, that the Greeks, desirous to express more effectively the sadness attendant upon death, used the past tense, as if the event had actually occurred. Thom. Magister. v. *μέλλω*, suspects this form to be an error of the transcribers; he admits the present and future infinitives with *μέλλω*, and the infin. of the aor. with *ἂν*, which he would also supply before *μέλλω*, in the text. But the use of the perf. for the pres. infin. is by no means unusual; it occurs in Criton. cap. 1. sub. fin. *ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με.* and cap. 29. infr. a med. *ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν.* Cf. Demosth. de Coron. p. 301. *πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος.* Some make *τεθνάναι*, in the text, the pres. Infin. from *τέθνημι.* See Matthiæ Gr. s. 498. *d.*

§. 18. *Μὴ θορυβεῖτε.*] Socrates proceeds to another part of his defence of common interest, like the preceding, to the Athenians and himself. For he proves that his condemnation and death should be accompanied by considerable injury and loss to the state, and in the progress of his pleading continues to exhibit that unbending fortitude in his manner, and freedom in his language, which, mingled occasionally with judicious irony, had characterized his discussions through life, and which drew from Cicero the remark, that Plato had brought forward Socrates, so defending himself, on trial for his life, that he less resembled a suppliant or a culprit, than the master and guide of his judges.

Μείζω βλάψετε.] According to the analogy of *ποιεῖν τινα κακά*, the verbs *ὠφελεῖν*, *βλάπτειν*, and others in which the idea of "doing" is implied, take, beside the accusative of the person, another accusative neuter plural of an adjective, where the English uses the adverbs "more," "very;" as supr. Matthiæ Gr. s. 415. Obs. 3.

Δύναιτο.] Stob. Trincavel. *δύναιντο*; either reading is equally admissible. FISCH.

Οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι.] h. e. *Neque enim legibus divinæ sapientiæ respondere existimo.* STALL. *Ἀμείνονι ἀνδρὶ*, i. q. *ἀμείνω ἄνδρα*, but used in the dative, from its proximity to *εἶναι*, on which it depends by attraction. See Buttmann. Intermed. Gr. Gr. s. 142.

Ἀποκτείνειε—ἢ ἐξελάσειεν—ἢ ἀτιμάσειεν.] Ἀποκτείνειν est *facere ut quis morte damnetur atque interficiatur: ἐξελαυνειν, facere, ut quis multetur exilio et urbe ejiciatur: ἀτιμάζειν facere ut quis vel omnem civitatem amittat* vel *certe maxima et præcipua civitatis commoda atque jura.* STALL. There were three degrees of Ἀτιμία, *infamy*, or *public disgrace.* 1. When the criminal retained his possessions, but was deprived of some privilege, which was enjoyed by

ται καὶ ἄλλος τίς που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἶομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτος νυνὶ ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὡς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ ἐμὲ ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ ὥς περ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδί-

other citizens. 2. When he was, for the present, deprived of the rights of citizenship, and had his goods confiscated, as in the case of those indebted to the public exchequer, until the debt was discharged. 3. When the criminal, with his children and his posterity, were for ever deprived of the rights of free citizens, both sacred and civil. Potter. Grec. Antiq. v. 1. c. 25. Ficinus and Dacier, who follows him, have rendered *ἀτιμάσειεν* incorrectly; v. Lat. Interpr.

Ἀλλὰ πολὺ μᾶλλον.] Intell. *οἶομαι μέγα κακόν.*

Ἐπιχειρεῖν ἀποκτιννύναι.] Theodoret. *ἐπιχειρῶν ἀποκτεῖναι*; incorrectly, for *ἀποκτιννύναι* is the Attic form. Mœris: *Ἀποκτιννύναι, Ἀττικῶς· ἀποκτεῖναι, Ἑλληνικῶς.* Fisch.

Μή τι ἐξαμ. — καταψηφισάμενοι.] h. e. *ne temere repudietis hoc Apollinis beneficium, vobis tributum, qui me jussit vos ob errores et vitia castigare atque ad virtutis studium cohortari.* Stall. Tr. *Lest in condemning me you may offend in any wise against the gift of the God to you; περὶ* with an accus. signifying frequently *in, adversus, against*, as Aristoph. Nubb. 990. *περὶ τοὺς σαυτοῦ γονέας κακουργεῖν*: *ὑμῖν* being the dat. upon *δόσιν*; see c. 9. n. extr. *Διὰ τὴν τοῦ θ. λ.* c. 17. sub. fin. *τῷ θεῷ ὑπηρεσίαν.* Cf. Cic Legg. "obtemperatio scriptis legibus."

Προσκείμενον τῇ πόλει, κ. τ. λ.] The sense of this passage depends upon the signification of *μύωπός*, which may be interpreted either as *a gadfly*, according to Fischer in loc. Rigalt. ad Ones. c. 1. p. 17. and Blomfield. Gloss. ad Æschyl. Prom. 583. or *a spur*, which is approved by Ficinus, Serranus, Wolf, Schleirmacher, and others, who suppose that Socrates represents himself as a horseman or charioteer, obliged by the direction of the deity to rouse the activity and energies of a noble but indolent steed, the type of the republic, by the application of the spur, which represents his own discourses and exhortations. In the former signification, which from the preceding, *εἰ καὶ γελοιότερον εἰπεῖν*, and the customary style of the speaker, is likely to be more expressive and correct, Socrates may be understood as comparing himself to a gadfly adhering to, and rousing the dormant faculties of the fine but lazy animal, which needed such excitement to keep its powers in action and alive. This latter explanation agrees better not only with the scope, but the terms of the argument; *προσκείμενον τῇ πόλει ὑπὸ τ. θ.*, upon which see Matthiæ Gr. s. 496. 3., *προστεθεικέναι*, and *προσκαθίζων* infr. which are all in keeping with, and refer most happily to this view of the subject. —Νωθεστέρῳ, Suid. interpr. *βραδυτέρῳ.*

Οἷον δή μοι—τοιοῦτόν τινα.] Τοιοῦτ. *τιν.* is joined by apposition to *οἷον* preced. to facilitate the completion of the

ζων ἕνα ἕκαστον οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην πανταχοῦ προσκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου. ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι ὥς περ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε, εἶτα τὸν λοιπὸν βίον καθεύδοντες διατελοῖτ' ἄν, εἰ μή τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειε κηδόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὥς περ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέντοι τι ἀπὸ τούτων ἀπέλαυον καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντα ἀναισχύντως οὕτω κατηγοροῦντες τοῦτό γε οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι, παρασχόμενοι μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

§. 19. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιὼν καὶ πολυ-

sentence, ὃς ὑμᾶς κ. τ. λ. STALL.

Ὑμεῖς δ' ἴσως—ῥᾳδίως ἂν ἀποκτείναιτε.] *At vos, offensi forsitan, velut dormitantes quum excitantur,* me ferietis, *atque Anyto obsequuti temere occidetis: posthac reliquum tempus perdormiscetis, nisi quem alium deus vobis miserit, cura permotus vestri.* WOLF. In which, it will be observed, there is a marked allusion to the simile as supr. Upon τάχ' ἄν see Matthiæ Gr. s. 599. *c.* s. 600. 5.

Οἷος ὑπὸ τοῦ θ.—δεδόσθαι.] See Matthiæ Gr. s. 536.

Οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε.] h. e. *non videtur esse consilii et arbitrii humani.* STALL. Every one being most inclined to devote his attention and regard to what most nearly concerns his own welfare and interest, and such having been especially the case at Athens, where the neglect of personal and domestic duties came little short of a crime. —Ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων, *aquo animo negligere rem familiarem, res suas perire sinere;* Matthiæ Gr. s. 550. b.

Οὐκ οἷοί τε ἐγέν. ἀπαναισχ.] *Were incapable of having the effrontery to say, that I, &c.*

§. 19. Ταῦτα ξυμβουλεύω.] i. q. ταῦ-

πραγμονῶν, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή], ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλιτος ἐγράψατο. ἐμοὶ δὲ τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔ ποτε. τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. καὶ παγκάλως γ' ἐμοὶ δοκεῖ ἐναντιοῦσθαι· εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλη καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκη οὐδὲν οὔτ' ἂν ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ γὰρ ἔστιν ὅς τις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι, ἀλλ'

τα παρακελεύεσθαι, c. 18. *cohortari ad studium sapientiæ et virtutis.* FISCH.—Πολυπραγμονῶν, *intermeddling in the affairs of others;* an expression used by Socrates to express one of the causes of the prejudice of the Athenians against him.

Θεῖον τι καὶ δαιμόνιον.] See c. 31. n. Ἡ γαρ εἰωθυῖα μοι, κ. τ. λ.—Φωνή. This word, which appears to some to have been inserted as an explanation of the preced. θεῖον τι, etc. is to be found in all the copies, and is approved by Forster. Fischer would reject it as a mere gloss, rendered wholly unnecessary by τοῦτ' ἔστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, following.

Ἐπικωμῳδῶν ἐγράψατο.] Socrates alludes here to the terms of the ἀντωμοσία; Ἕτερα δὲ δαιμόνια. c. 11.—Ἐπικωμῳδεῖν, i. q. διασύρειν, χλευάζειν; *to expose to public derision.* Κωμῳδεῖν and διακωμῳδεῖν have a similar signification, owing to the practice of the old comedy, the entire poem of which, as Schlegel remarks, is one great jest, which again contains within itself a world of separate jests. Cf. Horat. Sat. i. 4. 1. sqq.

Προτρέπει δὲ οὔποτε.] Cic. Divin. i. 54: "Hoc nimirum est illud, quod de Socrate accepimus, quodque ab ipso in libris Socraticorum sæpe dicitur, esse divinum quiddam, quod dæmonion appellat, cui semper paruerit, nunquam impellenti sæpe revocanti."

Ἀπολώλη.] Ἀπόλλυσθαι, *ejici e patria,* aut *in vincula conjici,* aut *morte damnari.* FISCH. One who escaped these penalties was said σώζεσθαι.—Ἀπολ. καὶ—ὠφελήκη. The primitive termination of the pluperfect, act. and med. appears to have been εα, which occurs in Homer and Herodotus, e. g. in the perf. med. πεποίθεα, Od. ί, 44. συνῳδέατε, Herod. 9. 58. This εα was changed, as in the augment, sometimes into η, whence the Attic and Doric form ᾠδη, χεχήνη, sometimes into ει, with the addition of ν. Matthiæ Gr. s. 188. Obs. s. 198. 3.

Οὔτε ἄλλῳ πλήθει.] See cap. 10. n. Τῶν δημιουργῶν, κ. τ. λ. a med. Γνησίως, *seriously, sincerely.*

ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν.

§. 20. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μου τὰ ἐμοὶ ξυμβεβηκότα, ἵν' εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δὲ ἅμ' ἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρα-

Καὶ εἰ.] Καὶ εἰ expresses something hypothetical, *even if; εἰ καὶ*, something actual, *although, notwithstanding that; καὶ εἰ ἀθάνατος ἦν, even if I were immortal; εἰ καὶ θνητός εἰμι, although I am mortal.* Viger. c. viii. s. vi. v. 6.

Ἰδιωτεύειν.] *Vitam privatam agere, privatum esse: δημοσιεύειν*, i. q. *πράττειν τὰ πολιτικὰ πράγματα, remp. administrare, magistratum esse.* FISCH.

§. 20. Ἵν εἰδῆτε ὅτι οὐδ' ἄν, κ. τ. λ.] Steph. in marg. *Me eum esse, qui nemini contra jus et æquum cessurus sim, mortis metu: non cedendo autem, simul sim interiturus.*

Ὑπεικάθοιμι.] Ald. Bas. 1. Steph. Norib. *ὑπείκοιμι*; but Mœris: Εἰκάθοιμεν, Ἀττικῶς· εἴκοιμεν, Ἑλληνικῶς.

Φορτικὰ καὶ δικανικά.] *Arrogant and petulant.*

Ἀρχὴν οὐδεμίαν—ἦρξα.] h. l. *nullum unquam magistratum gessi.* STALL. whence, it will be observed, the term *ἀρχη* could not be properly applied to the senatorial office.—Ἐβούλευσα δέ. Socrates belonged to the senate of five hundred, Βουλὴ τῶν πεντακοσίων, out of whom were chosen fifty officers, Πρυτάνεις, to preside in the senate during thirty-five days, or five weeks. These fifty officers were divided into five *decuriæ*; each *decuria* being to govern for the space of one week, during which time they were called Πρόεδροι, out of whom one, elected by lot, presided over the rest for each of the seven days. This president of the proëdri was termed Ἐπιστάτης, and to his charge the public seal, the keys of the citadel, and the public exchequer were committed. The φυλὴ, or tribe out of which the πρυτάνεις were chosen, was called the φυλὴ πρυτανεύουσα, and Socrates was the ἐπιστάτης of the Antiochean tribe, of which his birth-place, Alopece, was a δῆμος, or borough, at the period stated in the text. See Potter, Grec. Antiq. 1. c. 18. c. 9.

Τοὺς δέκα στρατηγοὺς.] Every year ten generals were appointed at Athens, called Στρατηγοὶ, who were intrusted with the command of all the forces and warlike preparations, to be managed as they judged best. About the period of their institution, it frequently happened upon occasions of moment that they were all sent out together, but afterwards it was considered unnecessary, and perhaps inexpedient, for so many to be sent out, with equal power, to superintend the military arrangements, and consequently, though the same number continued to be appointed every year, they were not all obliged to attend the wars, but one, two, or more, as occasion required. Upon the deposition of Thrasybulus and Alcibiades, the ten generals alluded to in the text, Conon, Diomedon, Leon, Pericles, Erasinides, Aristocrates, Archestratus, Protomachus, Thrasyllus, and Aristogenes, were appointed in their stead. Eight of these ten generals of the commonwealth were on board at the battle of Arginusæ, a small island between Lesbos and the main, where the Lacedæmonian fleet, under Callicratidas, encountered that of the Athenians under

τηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβουλεύσασθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων

Conon. During the engagement twenty-five Athenian vessels were sunk or disabled, and at the conclusion of the battle, which terminated unfavourably to the Lacedæmonians, a council of war was held to consider what steps should be adopted next. Diomedon proposed that the wreck should be collected, and the dead, and immediate relief afforded to such as might be discovered still alive, either floating on the ruins of the galleys, or endeavouring to save themselves by swimming. Erasinides recommended that the whole fleet should at once proceed to the assistance of Conon. Thrasyllus differed from both, and prevailed in his advice, that forty-six ships should remain to collect the wreck, while the rest of the fleet proceeded to Mitylene. None of the generals took the command of the squadron appointed for the former purpose; it was committed to Theramenes and Thrasybulus, who had held high naval commands, but were then in the subordinate rank of captains of triremes. The generals were meanwhile to proceed with the main body of the fleet to Mitylene. Both designs were frustrated by a storm, which compelled all the vessels to shelter at Arginusæ, and the crews of the wreck were thus left to perish. Upon this charge, preferred against six of the eight generals who returned to Athens after the engagement, Diomedon, Pericles, Lysias, Aristocrates, Erasinides, and Thrasyllus; (the other two, Protomachus and Aristogenes, having remained with Conon at Samos;) by Archedemus, the popular orator at Athens, and Theramenes, already mentioned, who unaccountably appeared as principal accuser, they were sentenced and put to death. Socrates, as one of the prytanes, opposed this proceeding to the last for many reasons, independent of its illegality; for each of the accused should have had a separate day for trial, a provision contained in the decree of Canonus, which was strongly urged by Euryptolemus, the relative of Pericles, and intimate of Diomedon, but in vain. Xen. Hel. 1. c. 7. s. 10. Potter, Grec. Antiq. 1. cap. 5. Mitford's Greece, iii. 434—459.

The battle of Arginusæ was fought in the year of *Callias*, not long before the *Apaturia* (Potter, Grec. Antiq. 1. p. 427.) which were in the month of *Pyanepsion*. This action may therefore be fixed to the third month of Callias, Boedromion of B. C. 406. Clinton's Fasti Hellen. p. 271.

'Ανελομένους.] 'Αναιρεῖσθαι, *corpora mortuorum tollere, ut sepeliantur.* STALL.

'Αθροους κρίνειν.] h. e. *de omnibus simul sententias ferre.* STALL., which has been already shewn to be illegal; whence παρανόμως. Xen. Memor. i. 1. 18. ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους—μιᾷ ψήφῳ—ἀποκτεῖναι πάντας. H. Gr. i. 7. 11. ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας κρίνειν: while the laws decreed that this inquiry should be held upon each individual separately; κρίνεσθαι τοὺς ἄνδρας δίχα ἕκαστον. Xen. Hist. Gr. as supr.

'Ως ἐν ὑστερ. χρον.—ἔδοξε.] Xen. Hellen. i. 7. 12. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς 'Αθηναίοις, κ. τ. λ.

'Ηναντιώθην.] In allusion to the opposition which Socrates made to the unlawful resolution of Callixenus, that the people should ballot by wards; that there should be for each ward two vases; and that proclamation should be made by the herald, informing the people that whoever deemed the generals criminal, in neglecting to save from the waves those who were conquerors in battle, must put his die in the first vase; whoever deemed them innocent, in the second: that the punishment, in case of condemnation, should be death. Mitford, iii. p. 453. Xenoph. Mem. iv. 4. 2. Hellen. i. 7. 9. 14. 15. Cf. Socrat. in Æschin. Dial. iii. 12. p. 102. οὐκ ἐπη-

ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων φοβηθέντα δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως. Ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν θόλον προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵν' ἀποθάνοι· οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν. τότε μέντοι

ρόμην τὴν γνώμην, i. e. *populi sententias non rogabam vel populum suffragia ferre non permittebam.*—FORST.

Ἐνδεικνύναι καὶ ἀπάγειν.] Ἐνδεικνύναι, *aliquem in aliquo facinore deprehensum ad magistratus continuo deferre: ἀπάγειν, abducere quo puniatur.* STALL. Hence ἔνδειξις, *a prosecution*, and ἀπαγωγή, *a conveying to prison.* Fischer reads ὑπάγειν in the text, which he supports by references; but the following are sufficient to support the adopted reading: Demosth. adv. Leptim. p. 504. 24. ed. Reiske. εἶναι δὲ καὶ ἔνδείξεις καὶ ἀπαγωγάς. Contr. Timocrat. p. 745. οὐδ' ὅσων ἔνδειξίς, ἐστί τινι ἡ ἀπαγωγή, προσεγέγραπτ' ἂν ἐν τοῖς νόμοις, τὸν δ' ἐνδεικθέντα ἢ ἀπαχθέντα δησάντων οἱ ἔνδεκα ἐν τῷ ξύλῳ. Adv. Theocrin. p. 1325. 9. ἐάν τις ποιῇ τὰ τῶν συκοφαντούντων, ἔνδειξιν αὐτῶν εἶναι καὶ ἀπαγωγήν.—Τῶν ῥητόρων.—See cap. 10. sub. fin. ὑπὲρ τῶν ῥητόρων.

Οἱ τριάκοντα—με πέμπτον.] See c. 10. n. Μίλιτ.—ὑπ. τ. ποιητ.—πέμπτον αὐτὸν, h. e. *me cum quatuor aliis;* so Xen. H. Gr. ii. 2. 11. ᾠρίθη πρεσβευτὴς—δέκατος αὐτὸς, h. e. *ipse cum novem aliis;* and 2 Pet. ii. 5. ὄγδοον Νῶε—ἐφύλαξε, h. e. *Noachum cum septem aliis,* FISCH., Μεταπεμψάμ. μεταπέμπεσθαι, signifies sometimes, *to send one to bring another*—and also *to send one with full powers,* as in the text, confirmed by προσέταξ. ἀγαγ. ἐκ Σαλαμῖν. following. SERRAN.

Θόλον.] Tim. Gloss. Plat. Θόλος· οἶκος περιφερὴς, ἐν ᾧ οἱ πρυτάνεις συνεισιτῶντο. Pollux, ix. 155. Ἡ Θόλος, ἐν ᾗ συνεδείπνουν ἑκάστης ἡμέρας πεντήκοντα τῆς τῶν πεντακοσίων βουλῆς, ἡ πρυτανεύουσα φυλή. Pausan. i. 5. τοῦ βουλευτηρίου τῶν πεντακοσίων πλησίον Θόλος ἐστὶ καλουμένη, καὶ θύουσι τε ἐνταῦθα οἱ πρυτάνεις. It was so named from its circular form and coved roof; and was called also Πρυτανεῖον, according to Timæus, from its having been a corn store, πορῶν ταμιεῖον.

Λέοντα τὸν Σαλαμίνιον.] Leon, distinguished for his virtues as his opulence, was one of the ten generals already mentioned, born at Salamis, but a freeman of Athens. Upon the appointment of the Thirty, he retired, a voluntary exile, to his native island; the avarice, which, no less than cruelty and revenge, formed a leading characteristic of the new administration, having warned him that his life, if he remained at Athens, might become the penalty of his wealth; a result which, it appears, was only deferred, and against which his character proved no protection. v. c. 10.

Ἀναπλῆσαι αἰτιῶν.] h. e. *commaculare culpa et criminibus.*—STALL. From the united evidence of Xenophon, Lysias, and Plato, it appears that the most abominable policy guided the measures pursued at this period by the Thirty. Revenge and avarice had then full sway; many suffered death for private enmities; many merely for their wealth. Every eminent man was to be destroyed or gained: but, as means were wanting to attach a sufficient number by favours, the infernal expedient was

ἐγὼ οὐ λόγῳ ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην ὅτι ἐμοὶ θανάτου μὲν μέλει, εἰ μὴ ἀγροικότερον εἰπεῖν, οὐδ' ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μελει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ ἐξέπληξεν οὔτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργάσασθαι, ἀλλ' ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτ' ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη. καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

§. 21. Ἆρ' οὖν ἄν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ ἐβοήθουν τοῖς δικαίοις καὶ, ὥς περ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; πολλοῦ γέ δεῖ,

practised, of forcing men to a community of interest through a participation in crime. Driven by terror to execute tyrannical orders, they became involved in the same guilt, and obnoxious to the same resentment; and thus theirs and that of the Thirty became common cause. Mitford's Greece, iv. p. 46.—Ἀναπλήσας, Suid. Interpr. *ἀναπληρώσας. ὁ δὲ* Πλάτων *ἀντὶ τοῦ μολύνας, having infected or defiled:* in which sense the verb occurs in the description of the plague at Athens, Thucyd. ii. 51. *ἑτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι, ὥσπερ τὰ πρόβατα. — contagione infecti;* which Gesner, in Thes. L. L. v. Impleo, compares with Livy, iv. 30. "vulgatique contactu in homines morbi, et primo in agrestes ingruerant servitiaque. Urbs deinde impletur." Ruhnken. ad Tim. Lex. Plat. v. *ἀναπλήσας.*

Θανάτου μὲν μέλει—οὐδ' ὁτιοῦν.] *Moveor morte nullo prorsus modo.* Fisch. *εἰ μὴ ἀγροικ. ὡς με ἀγροικ.* Serran., which appears to have been adopted by Ficinus; the sense, however, is the same, as Socrates intends to apologize for the use of a term, which, though expressive, was considered, probably, too homely or inelegant by the refined and scrupulous Athenian.

Τὸ πᾶν μέλει.] h. e. *omnino, omnibus modis mihi curæ est.* Stall. Steph. in marg. *me nisi hoc dictu agrestius erat, nihil mortem curare: ut autem nihil injustum neque impium perpetrarem, in eo vero meam omnem curam versari:* vel *nisi hoc dictu subagreste erat* aut etiam *subrusticum.* Fisch.

Ἐκείνη ἡ ἀρχή.] So *ἡ τῶν Τριάκοντα.—ἐκπλήττειν, percellere et movere aliquem ita ut quasi extra se rapiatur.* Thom. Mag. p. 186. intt. Lexic. Xenoph. s. h. v.

Ὠιχόμην ἀπιὼν οἴκαδε.] h. e. *continuo abii.* Stall. Frequently, instead of a simple verb denoting *to go away*, its participle is joined with οἴχομαι, e. g. ᾤχετ' *ἀποπτάμενος*, for *ἀπέπτατο*, Il. β'. 71. ᾤχετο *φεύγων, he escaped.* Herod. 1. 157. Matthiæ Gr. s. 559. *c.* Seneca remarks, in reference to the conduct of Socrates upon this occasion, de Tranq. Animi. c. 3. "inter triginta tyrannos liberum (Socratem) incessisse;" and Consol. ad Helv. c. 13. "aliquando solum triginta tyrannos in ordinem redegisse."

Εἰ μὴ ἡ ἀρφὴ—κατελύθη.] The government of the Thirty lasted four years, from its commencement until its overthrow, by Thrasybulus.

§. 21. Ἆρ' οὖν ἂν με οἴεσθε, κ. τ. λ.] See Matthiæ, s. 508. *b.*—διαγενέσθαι, i. q. *σώζεσθαι.* c. 19.

ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου δημοσίᾳ τε εἴ πού τι ἔπραξα, τοιοῦτος φανοῦμαι καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς δὴ οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τις ἐμοῦ λέγοντος καὶ τὰ ἑμαυτοῦ πράττοντος ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δ' οὔ, ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν, καὶ ἐάν τις βούληται ἀποκρινόμενος ἀκούειν ὧν ἂν λέγω. καὶ τούτων ἐγώ, εἴ τέ τις χρηστὸς γίγνεται εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα μήτε ἐδίδαξα. εἰ δέ τίς φησι παρ' ἐμοῦ πώποτέ τι μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.

§. 22. Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες; Ἀκηκόατε, ὦ

Οὐδὲ—ἂν ἄλλ. ἀνθρ. οὐδ.] sc. *διεγένετο*.

Τοιοῦτος φανοῦμαι.] Τοιοῦτ. is explained by *οὐδενὶ πώποτε ξυγχώρησας*, κ. τ. λ. following.

Ἐμοὺς μαθητὰς εἶναι.] In allusion to Alcibiades and Critias, whose vices were said to be owing to the instructions of Socrates, a calumny which he now proceeds to refute. Xenoph. Mem. Socr. i. c. 2. 12. Ἀλλ' ἔφη ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην, etc. Æschines, Orat. in Timarch. p. 217. mentions the intimacy of Socrates with Critias in his early life, as the principal cause of his condemnation.

Τὰ ἐμαυτοῦ.] The task assigned to Socrates, by Apollo, of convincing the Athenians of their errors, and rebuking them accordingly, as well as exhorting them to the study and practice of virtue.

Οὐδὲ χρήματα μὲν λαμ.] In reference to the avarice of the sophists. c. 4.

Παρέχω ἐμαυτὸν ἐρωτᾶν.] h. e. *copiam facio et potestatem me interrogandi*, STALL., when the infin. act. is used for the passive, Matthiæ Gr. s. 532. *a*. Καὶ ἐάν τις, i. q. καὶ παντί, ὅστις ἂν βούλ. κ. τ. λ. ἐάν τις and ὅστις admitting of frequent interchanges.

Οὐκ ἂν δικ. τὴν αἰτ. ὑπέχ.] h. e. *hoc recte mihi tribui non poterit*. STALL.

§. 22. Χαίρουσί — διατρίβοντες.] Verbs which express any emotion of the mind, take in the participle the object, or operative cause, as supr., which in Latin is expressed by *quod*, or by the accus. with the infin. When the se-

ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἴπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ· ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντειῶν καὶ ἐξ ἐνυπνίων καὶ παντὶ πρόπῳ, ᾧ πέρ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν. Ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστὶ καὶ εὐέλεγκτα. εἰ γὰρ δὴ ἔγωγε τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρῆν δή που, εἴ τέ τινες αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴ περ ὑπ' ἐμοῦ τι κακὸν ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμνῆσθαι. πάντως δὲ πάρεισιν αὐτῶν πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τούτου

cond verb refers to a different subject from the first, then, according to the different construction of the verbs, the gen. dat. and accus. are used; χαίρειν and ἥδεσθαι take the object in the dative, as infr. χαίρουσιν ἐξεταζομένοις, κ. τ. λ. Matthiæ Gr. s. 555. *i.*

Τοῦτο—προστέτακται.] Intell. τὸ ἐξετάζειν.

Παντὶ τρόπῳ.] Divination by dreams, sacrifices, birds, cats, &c. by which the Athenians believed that the pleasure of the gods was signified to men. Steph. in marg. *qua* (ratione) *unquam ulla etiam alia sors divina quicquam ulli homini, ut faceret, imperavit.*

Καὶ εὐέλεγκτα.] *Quæ redargui possint, si non vera sint.* SERRAN. The term is more generally used in reference to what is *easily refuted* or *disproved*, but in consequence of ἀληθῆ preced. it must admit of the extension of its ordinary sense, as given by Serranus. Tr. *easily confirmed.*

Εἴ τι.] Εἴγε. FISCH. Adopted by Ficinus.

Κακὸν—τι ξυνεβούλευσα.] This, as well as κακόν τι πεπονθέναι, and κακὰ ἐργάζεσθαι, infr. refers to the charges advanced against Socrates of his having led his associates astray, and instilled into their minds an enmity to their country and contempt of their gods.

Πάρεισιν—ἐνταυθοῖ.] *Have come to be present here.*—Παρεῖναι ἐνταυθοῖ, *huc venisse ibique præsentem esse, ibique versari;* so Protagor. p. 310. A. τί οὖν οὐ διηγήσω ἡμῖν τὴν ξυνουσίαν, εἰ μή σέ τι κωλύει, καθιζόμενος ἐνταυθοῖ; i. e. *huc considens et nobiscum sedens.* STALL.

Κρίτων οὑτοσί.] See in Criton. init. Critobulus, the son of Crito, the cotemporary of Socrates, ἡλικιώτης, and of the same borough, Alopece, δημότης; was a disciple of Socrates, and was present at the trial, as were also Lysanias, the father of Æschines, who belonged

πατήρ· ἔτι δ' Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ. ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος ὁ Θεοσδοτίδου, ἀδελφὸς Θεοδότου—καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη—, καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε τε Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ὅδε ἀδελφός. καὶ ἄλλους πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινὰ ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι Μελιτον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω, ἐγὼ παραχωρῶ, καὶ λεγέτω εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλιτος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοη-

to the borough of Sphettus, of the tribe of Acamas: Antiphon to that of Cephisus, or Cephisia, of the tribe of Erectheus, &c.

Ἄλλοι τοίνυν οὗτοι.] "Male ἀσύνδετος est oratio neque commodum est h. l. istud τοίνυν, *igitur*, ut depravata hæc verba videantur, sic fortasse corrigenda; ἄλλοι τε ἐντανθοῖ." So Heindorf, who seems however to have unnecessarily restricted the signification of τοίνυν, which is frequently used in oratorical transitions in the sense of *jam vero*, as Isocr. in Panegyr. τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων, δικαίως ἐπαινουμένων, etc.; i. e. *jam vero, cum ii suo jure laudentur, qui publicas celebritates instituerint.* Demosth. pro Coron. ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, etc.; *jam vero, postquam respublica pacem fecisset.* Viger, c. viii. s. 9. v. 9.

Ὥστε οὐκ ἂν—καταδεηθείη.] Steph. in marg. *Ita ut ille* (Theodotus) *non jam eum* (Nicostratum) *rogare possit, ne contra me testetur, neque testimonio suo levitatem meam et improbitatem ita ulciscatur, ut me sententiis vestris condemnandum tradat.* Καταδεῖσθαι, *aliquem precibus vincere ac commovere.* STALL.

Πλάτων—Ἀπολλόδωρος.] See in Phædon. c. 2. sub fin.; of the others mentioned above nothing is known connected with any interest, further than their having been the friends and disciples of Socrates. Plat. in Theog. and Demosth. de Repub. init. p. 357.

Ἐγὼ παραχωρῶ.] h. e. *per me ei hoc licet.* STALL. *I give him leave.* The accuser was not allowed in an Athenian court of justice to interrupt the accused in the progress of his defence. But it happened not unfrequently that, as in the present case, the defendant, when he felt that he had truth and justice at his side, challenged the accuser to refute his statement, and volunteered to resign a portion of the time allotted to himself, for his adversary to reconcile his charge with some contradictory evidence on the part of the accused. See Potter, Græc. Antiq. 1. c. 21.

Λόγον ἔχοιεν βοηθοῦντες.] *Would have an excuse for defending me;* lest it should appear that they had associated indiscreetly with an individual by whose impiety and iniquity their own characters had become liable to a similar imputation.

θοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὃν ξυνίσασι Μελίτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθεύοντι;

§. 23. Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τί ἐστι ταῦτα καὶ ἄλλα ἴσως τοιαῦτα. Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' ἂν οὖν τις ταῦτα ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη, καὶ

Οἱ *τούτων προσήκοντες.*] *Their relatives:* so Eurip. El. 337. *ὁ ἐκείνου τεκών, his father.* Thucydides is remarkable for using participles as substantives, in which case they frequently take a genitive or possessive pronoun. Thuc. i. 128. *βασιλέως προσήκοντές τινες.* i. 36. *τὸ δεδιὸς αὐτοῦ* (*το δίος*) . . . . *τὸ θαρσοῦν* (*το θάρσος*). ii. 19. *τὰ ἐν Πλαταιᾷ τῶν ἐσελθόντων Θηβαίων γενόμενα.* Arist. Eccl. 1118. *ἡ ἐμὴ κεκτημένη.* Eurip. Iph. A. 1280. *τὸ κείνου βουλόμενον, his will.*

'Αλλ' *ἢ τὸν ὀρθόν.*] 'Αλλ' *ἤ* signifies *except, unless,* and therefore usually follows a negative, or an interrogation implying such. Οὐκ—ἀλλ' *ἤ* is to be explained by supposing a member of the sentence to be omitted on account of the doubt or ignorance of the speaker or writer, which omitted member is to be joined by means of *ἤ* to a preceding one: Aristoph. in Pac. 475. *οὐδὲν 'Αργεῖοι πάλαι ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,* i. e. *ἀλλ' ἢ κατεγέλων, ἢ οὐκ οἶδ' ὅτι ἐποίουν.* So supr. *ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον λόγ. ἔχ. ἢ οὐκ οἶδ' ὅν τίνα ἄλλον, κ. τ. λ.* Seag. Viger. viii. s. ii. 10. See in Phædon, c. 30. n.

§. 23. Τί.] Ald. Bas. 1. Norib. *τοι.* Steph. *τι,* which is the more correct, the pronoun being often elegantly joined to *σχεδὸν, πάνυ,* and such particles, by Plato, Xenophon, and others. FISCH.

Τάχα δ' *ἄν τις ἀγανακ.*] Socrates proceeds to assign his reasons for not bringing forward his children, as was customary with the accused at Athens, to move the compassion of the judges in his favour, a resource which he held to be inconsistent with his own character, and opposed to the spirit of the laws. That it was not unusual to employ the tears and entreaties of wives and daughters to avert a threatened sentence will appear from Aristoph. Plut. 383. s. Vesp. 566. s.

'Ελάττω — *ἀγῶνα ἀγωνιζόμενος.*] h. e. *causam agens minus periculosam.* STALL.

Οὐδὲν—*ποιήσω.*] Cic. Tusc. i. 29. "His, et talibus, rationibus adductus Socrates, nec patronum quæsivit ad judicium capitis, nec judicibus supplex fuit."

Αὐθαδέστερον—*σχοίη.*] *Should be more obstinately prejudiced against me;* the term *αὐθάδης* being applied to a a judge, who, although the accused

ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει,—οὐκ ἀξιῶ μὲν γὰρ ἔγωγε· εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν λόγον, ὅτι Ἐμοί, ὦ ἄριστε, εἰσὶ μέν πού τινες καὶ οἰκεῖοι. καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέφυκα ἀλλ' ἐξ ἀνθρώπων, ὥστε καὶ οἰκεῖοί μοί εἰσι καὶ υἱεῖς γε, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον ἤδη, δύο δὲ παιδία. ἀλλ' ὅμως οὐδέν αὐτῶν δεῦρο ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. Τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; Οὐκ αὐθαδιζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν καὶ τηλικόνδε ὄντα καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· ἀλλ' οὖν δεδογμένον γέ ἐστι

might have expected an acquittal, from the justice of his cause, should refuse his sanction thereto, from the requisite form of supplication not having been previously adopted.

Θεῖτο—τὴν ψῆφον.] Ovid. Metam. xv. "Mos erat antiquis, niveis atrisque lapillis, His damnare reos, illis absolvere culpa." See c. 25. sub. fin. Εἰ τρεῖς μον. n.

Οὐκ ἀξιῶ μὲν—ἔγωγε.] h. e. *Nolim equidem quenquam vestrum hoc animo esse.* FISCH. It might, probably, be more effectively rendered, *I do not take it for granted*, or, *admit and establish it as a principle;* from which latter sense of the verb ἀξίωμα derives its meaning, as a philosophical term; Socrates by no means intending to assert, that the judges should be necessarily so disposed towards one who conscientiously rejected an alternative, with which, under the circumstances, he might have been expected to comply. But addressing them *on the supposition*, εἰ δ' οὖν sc. τις ὑμῶν οὕτως ἔχει, that some amongst them might have been influenced by such a feeling, he uses the terms, as supr., in the sense proposed. Nearly in a similar sense, V. Cousin appears to have understood the text; *S' il y a ici quelqu'un qui soit dans ces sentimens, ce que je ne saurais croire, mais j'en fais la supposition*, etc.; though he fails in assigning the requisite force to ἀξιῶ. Ficinus loses sight of the meaning altogether.

Τὸ τοῦ Ὁμήρου.] Odyss. τ', 163. Οὐ γὰρ ἀπὸ δρυὸς ἔσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης: where Penelope, before she recognises Ulysses, inquires into the circumstances of his birth.

Υἱεῖς—τρεῖς.] Lamprocles, by Myrto, called supr. μειράκιον, in Phædon. μέγας, Sophroniscus, and Menexenus, by Xantippe, supr., παιδία, in Phædon, σμικροί. Seneca, Ep. 104, mentions them as unmanageable, and but little resembling their father.

Οὐκ αὐθαδιζόμενος.] Cic. Tusc. i. 29. de Socrat. "Adhibuitque liberam contumaciam, a magnitudine animi ductam, non a superbia."

Ἄλλος λόγος.] *Alia quæstio est, ad hunc sermonem non pertinet.* STEPH.

Τοῦτο τοὔνομα ἔχοντα.] i. e. *Florentem tanta sapientiæ laude*, STALL., to which Socrates subjoins, to obviate the charge of presumption, εἴτ' οὖν—

τὸν Σωκράτη διαφέρειν τινὶ τῶν πολλῶν ἀνθρώπων· εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτε ἀνδρίᾳ εἴτε ἄλλῃ ἠτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη, οἵους περ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οιομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥς περ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ἡμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπῃτιοῦν τι εἶναι, οὔτ' ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν, ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθαι, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος ἢ τοῦ ἡσυχίαν ἄγοντος.

§. 24. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ δίκαιόν μοι δοκεῖ εἶναι δεῖσθαι τοῦ δικαστοῦ οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν. οὐ γὰρ ἐπὶ

ψεῦδος; i. q. ψευδές. Matthiæ Gr. s. 429. 4.

Τοιοῦτοι ἔσονται.] To be taken with οἵους περ εγω πολλ. etc. following: αἰσχρὸν ἂν εἴη being parenthetic.

Δοκοῦντας μέν τι εἶναι.] h. e. *qui viderentur esse sapientia nescio qua præditi.* STALL. Τις, without ad additional adjective, has the sense of *eminent, distinguished:* in Phæd. c. 8. εὐελπίς εἰμι εἶναι τι τοῖς τετελευτηκόσι. Matthiæ Gr. s. 487. 5.—Θαυμάσια δὲ ἐργαζομενους, *qui ea faciunt, e quibus intelligi possit, ipsos commoveri morte.* FISCH.

Ὡς δεινόν τι οἰομ. πείσ.] *Quippe,* vel *utpote putantes se indigni quid esse passuros.* STALL.—Ὥσπερ ἀθανάτων ἐσομένων. See Matthiæ Gr. s. 568. 3.

Διαφέροντες—εἰς ἀρετήν.] Εἰς, *with respect to, quod attinet ad,* a general reference, which in English is often expressed by the more definite *on account of, in consequence of.* Matthiæ Gr. s. 578. *c.*

Οὔτε ἡμᾶς χρὴ ποιεῖν.] h. e. *neque nos decet talia facere—, nec, si nos faciamus, vos decet ea concedere et permittere.* STALL.

Τὰ ἐλεεινὰ ταῦτα δράματα.] *These doleful tragedies;* alluding to the custom already mentioned, of endeavouring to awaken the sympathies of the judges by the tears of wives and children.—Εἰσάγοντος. See. c. 12. n. Ἐμὲ εἰσάγεις, κ. τ. λ.

§. 24. Χωρὶς δὲ τῆς δόξης.] h. e. *sed præterquam quod illud existimationi meæ non responderet.* STALL.

τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. οὔκουν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι μήτε δίκαια μήτε ὅσια, ἄλλως τε πάντως νὴ Δία, μάλιστα μέντοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου τουτουί. σαφῶς γὰρ ἄν, εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι, καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

---

§. 25. Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε,

Ἐπὶ τούτῳ—ἐπὶ τῷ καταχαρίζεσ.] When the demonstrative pronoun precedes the infinitive, it seems to increase the attention to what follows. Matthiæ Gr. s. 472. 2. *b.* Καταχαρίζεσθαι τὸ δίκαιον, *justitiam donare gratiæ, jus negligere, quo alteri gratum facias.*— STALL.

Καὶ ὀμώμοκεν.] Pollux, viii. 122. Ὁ δὲ ὅρκος ἦν τῶν δικαστῶν· περὶ μὲν ὧν νόμοι εἰσὶ, κατὰ τοὺς νόμους ψηφιεῖσθαι· περὶ δὲ ὧν μὴ εἰσι, σὺν γνώμῃ δικαιοτάτῃ

Μὴ οὖν ἀξιοῦτε.] *Nolite igitur putare.* STALL.

Ἄλλως τε πάντως—μάλιστα μέντ. κ.] h. e. *quum alias omnino, tum maxime nunc, quum impietatis accusatus sum a Melito.* STALL.

Εἰ πείθοιμι—βιαζοίμην.] Intell. χαρίζεσθαί μοι τὰ δίκαια.

§. 25. Τὸ μὲν μὴ ἀγανακτεῖν.] In the Athenian court, when the plaintiff and defendant had concluded their harangues, the public crier called upon the judges to announce their verdict. In the case of trial for crimes for which penalties had been assigned by the laws, ἀγῶνες ἀτίμητοι, a single verdict, declaring the guilt or innocence of the accused was sufficient; but in cases which were not so cognisable by the laws, ἀγῶνες τίμητοι, if the accused was found guilty, a second sentence was required to determine the punishment due to the offence. To the latter class the cause of Socrates must have belonged. All that he had already advanced in his behalf was with a view to the primary verdict of the judges, as to his being actually guilty or not guilty of the charges preferred against him by Melitus: upon

ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀποπεφεύγη ἄν. Mé-

which, in the first instance, the judges decided against him; it remained then for Socrates, in compliance with the usual form, intended, in some degree, to exonerate the judges, and confirm their sentence, by obliging the accused to acknowledge his guilt, to condemn himself to one of three penalties, perperpetual imprisonment, a fine, or banishment. Such a confession, however, should have seriously involved the character of Socrates, and impaired, in no small degree, the truth and sincerity of his previous defence. Accordingly, in the triumph of conscious innocence, instead of submitting to a penalty, he demanded a reward, and was only prevailed on at length, from a desire of gratifying the wishes, and tranquillizing the apprehensions of his friends, to amerce himself in a fine, which, being incompetent himself, they undertook to pay.

It has been questioned whether this trial, founded upon such an indictment, should not rather have been classed with the *ἀγῶνες ἀτίμητοι*, but there were criminal causes, and degrees of the guilt imputed, in which, as well as in civil causes, the punishment was discretionary with the judge. Of such a character, it is plain, was the present trial, in which, as Cicero remarks, de Orat. l. 1. "Socrates was not only condemned by the first sentence of the judges, which determined whether the criminal should be condemned or acquitted, but by that, also, which the laws obliged them to pronounce afterwards." According to Xenophon, Apol. Socr. p. 25, Socrates, in asserting his innocence, subsequent to his condemnation, declared that if every charge had been completely proved, still, all together did not amount, pursuant to any known law, to a capital crime. In the Public Economy of Athens, by Boeckh, one of the most valuable works in classical literature, the subject of damages, fines, and penalties for illegal acts is ably and comprehensively discussed. And though with a particular view, as affecting the public revenue, still the general question is made easily intelligible. See vol. ii. 97. sqq.

Παρὰ πολύ.] h. e. *non sperabam futurum ut numerus calculorum, quibus absolverer, tam parum differret ab eorum quibus damnarer, numero: immo putabam, numerum calculorum absolutoriorum longe superatum iri damnatoriorum numero.* Fisch.—*παρ' ὀλίγον, so little different; αλλα παρα πολυ, but different by a great excess.* Viger. c. ix. s. 6. v. 7. Matthiæ Gr. s. 588. *c.*

Εἰ τρεῖς μόναι.] According to Fischer, who has taken considerable pains in comparing and reconciling the conflicting authorities, the judges of Socrates were in number 556. Of these, 281 were for conviction, and 275 for acquittal; had three more from the former been added to the latter, the votes on either side had been equal, and, according to the Athenian law, he should have been discharged. Eurip. Elect. 1265. and Iphig. Tauric. 1469. Stephens, Dacier, and others, read *τριάκοντα τρεῖς*, of which Fischer justly disapproves; as it is scarcely possible that such a majority could have been followed by *μόναι*.—Μετέπεσον, *had fallen to a different side: μεταπίπτειν, aliter cadere*, h. e. *in aliam urnam incidere.* Fisch. The judges took the *ψῆφοι*, or pebbles, which were succeeded by the *σπόνδυλοι*, small balls of brass, and later, by the *κυάμοι*, beans, all employed for a similar purpose, and cast them through a small tunnel, called *κημὸς*, into two urns, one for receiving the condemning, and the other, the absolving votes, called *κάδοι* or *καδίσκοι*; whence the meaning of the term, as supr. is obviously correct. Cf. Potter, Grec. Antiq. l. c. 19. c. 21.

λιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὤφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

§. 26. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. Εἶεν. ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτῖσαι, ὅ τι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧν περ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτ'

Κἂν ὤφλε χιλίας δραχμάς.] *He should have been liable to a penalty of a thousand drachms, not having obtained a fifth part of the suffrages.* Melitus escaped the fine to which those who, having commenced a prosecution, failed in obtaining a fifth of the suffrages, were liable, in consequence of Anytus and Lycon having devoted their interest and advocacy to the cause, which, without them, should have terminated in the discomfiture and disgrace of the prominent accuser.

§. 26. Τιμᾶται, κ. τ. λ.] The accuser was accustomed to subjoin to the indictment, *ἀντωμοσία*, whatever penalty appeared to him to have been deserved by the accused, unless the law had already prescribed what the precise penalty should be. For which *τιμᾶσθαι, to estimate a crime at such a price*, with a dat. of the person and a genit. of the punishment, was the technical phrase; and to which were opposed *ὑποτιμᾶσθαι, to estimate or assign a penalty for one's self*, and *ἀντιτιμᾶσθαι*, which has a similar purport, Pollux. viii. 150. Xen. Apol. 23. Melitus, c. 11, supr. made death the consequence of Socrates' conviction. See Boeckh, Econ. of Athens. ii. 99.

Παθεῖν ἢ ἀποτῖσαι.] The question put to the accused was, Ὅτι χρὴ, or *τί ἄξιος εἶ, παθεῖν, ἢ ἀποτίσαι*: the former referring to corporeal, the latter to pecuniary punishment.

Ὅ τι μαθὼν—οὐκ ἡσυχίαν ἦγον.] *Quod non remisi a discendo.* Boeckh. See Matthiæ Gr. s. 567. Ficinus misunderstands the passage altogether. Tr. *What penalty do I deserve to suffer or pay*, because [*ὅ τι μαθὼν*] *during my life I have not kept quiet*, etc.

Ὧν περ οἱ πολλοί.] Intell. *ἐπιμελοῦνται*; a word being sometimes obliged to be supplied of an opposite tendency to the preceding one expressed.—Matthiæ Gr. 634. 3.

Δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν.] Τῶν ἄλλων is used here as in Gorg. s. 54. *ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλλων ξένων*, h. e. *ξένων ὄντων*: *δημηγορία*, signifying *a popular harangue*, or the province of one who dealt in such, which could not be properly designated by *ἀρχη*. Fischer reads *δημιουργιῶν*, but on the strength of a conjecture, which he fails in establishing, that at Athens *δημάρχοι* and *δημιουργοὶ* were synonymous. By *ξυνωμοσιῶν καὶ στάσεων* Socrates intends an allusion to the troubles of his own times, in which he was not otherwise engaged than, as has been already shown, in a manner which was creditable to his country and honorable to himself.

Ἐπιεικέστερον.] i. e. *Supposing myself to be possessed of too much integrity*

ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ἦα οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ἦα, ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι πρὶν ἑαυτοῦ ἐπιμεληθείη ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως· τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι. τί οὖν εἰμὶ ἄξιος παθεῖν τοιοῦτος ὤν; ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά γε ἀγαθὸν τοιοῦτον ὅ τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ' ὅ τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπιάσιν. ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς

to ensure my security by having recourse to such practices.

Εὐεργέτῃ.] This was an honorary title conferred upon such as had deserved well of the state, and to which σωτήρ was not unfrequently joined: Dorvill. ad Charit. p. 317. ed. Lips. "Viri principes, immo reges reipublicæ Atheniensis εὐεργέτας τοῦ δήμου γραφῆναι ceu eximium decus adfectaverunt."

Μᾶλλον—οὕτως' ὡς.] This was not an unusual form with the Greek writers; Cf. Min. 318. E. Οὐ γὰρ ἴσθ' ὅ, τι τούτου ἀσεβέστερον ἔστιν, οὐδ' οὕτω χρὴ μᾶλλον εὐλαβεῖσθαι, πλὴν εἰς θεοὺς καὶ λόγῳ καὶ ἔργῳ ἐξαμαρτάνειν. Dial. Eryx. p. 392. C. Ὑπὸ δὲ τῶν σμικρῶν τούτων ἂν μᾶλλον ὀργίζοιντο οὕτως ὡς ἂν μάλιστα χαλεπώτατοι εἶησαν. HEUSD.

Ἐν πρυτανείῳ σιτεῖσθαι.] This was one of the highest honours in the Athenian commonwealth; to be supported at the public expense in the Prytaneum, or common hall. Cic. Orat. i. 54. Demosth. de fals. Leg. ii. 267. Pollux. ix. 40.

Ἵππῳ ἢ ξυνωρίδι.] Horse-races were performed with single horses; whence ἵππῳ, supr., *equus singularis*, FISCH., which were called κέλητες, or μονάμπυκες; chariot races, with a pair of horses yoked, ξυνωρίς, *bigæ*, Hesych. interpr. συζυγία, ἢ ἅρμα ἐκ δυοῖν ἵπποιν συνεζευγμένον. Suid. ἐκ δύο ἵππων: and with three or more, ζεῦγος, *trigæ, quadrigæ*, Hesych. interpr. πᾶν τὸ ἐζευγμένον, καὶ ὄχημα, καὶ ἐπὶ τριῶν, καὶ τεσσάρων, ἔτασσον. For the Olympic games see Potter, Grec. Antiq. 1. c. 22. The victors enjoyed little short of divine honours.—Ὀλυμπιάσιν.—The following distinction, arising from the accenting of this term, is stated by Phavorinus, from the Scholiast in Aristoph. Vesp. p. 361. Ὀλυμπίασι· νῦν προπαροξύνεται· λέγεται γὰρ περὶ τόπου· ἐὰν περὶ πράγματος ᾖ δηλοῦσα ἡ λέξις, οἷον ὡς εἰ λέγοι

οὐδὲν δεῖται, ἐγὼ δὲ δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως.

§. 27. Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως δοκῶ λέγειν ὥς περ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων, ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω· ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα, ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥς περ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν ἡμέραν μόνην κρίνειν ἀλλὰ πολλάς, ἐπείσθητε ἄν· νῦν δ' οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δὴ ἐγὼ μηδένα ἀδικεῖν πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμί του κακοῦ καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ. τί δείσας; ἦ μὴ πάθω τοῦτο,

τις, δίκα Ὀλυμπιάσιν· ἐφεξῆς ἐνίκησεν ὁ δεῖνα, προπερισπᾶται.

Τούτου τιμῶμαι.] h. e. *si conferi me oportet, quam æstimationem maxime commeruerim, fateor, me meruisse, ut quotidianus mihi in Prytaneo victus publice præbeatur.* Fisch. Cf. Lucian. Prometh. iv. p. 188. tom. 1, ἐφ' οἷς ἔγωγε τῆς ἐν Πρυτανείῳ σιτήσεως, εἰ τὰ δίκαια ἐγίγνετο, ἐτιμησάμην ἂν ἐμαυτόν.

§. 27. Ἴσως οὖν ὑμῖν, κ. τ. λ.] *Perhaps in addressing you thus, I appear to express myself with a similar presumption as on the subject of pity and supplication.* v. c. 23. Ἀντιβολεῖν, i. q. ἱκετεύειν, whence ἀντιβόλησις, i. q. ἱκετεία. Stall.

Ἑκὼν εἶναι.] h. e. *quantum quidem a mea pendeat voluntate.* Stall. Ἑκὼν εἶναι non est simpliciter *sponte sed quantum quis sponte quid faciat.* Οὐδὲ μὴν φίλοις γε, οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις: Xen. Cyrop. ii. 2. 15. *ut id quidem sponte faciat,* [*by choice; if you can help it.*] Hermann. ad Viger. p. 888.

Ἀλλήλοις διειλέγμεθα.] In allusion to the preceding portion of the Apology.

Ὡς περ.] Steph. ὅσπερ: adopted also by Ficinus and Forster.

Μὴ μίαν ἡμέραν μόνην.] S. Petit enumerates in the Athenian code the following law: "Sol occasus suprema in judiciis tempestas esto." Potter, Grec. Antiq. 1. p. 192.

Εἶμι του.] Εἶμι του, h. e. τινος κακοῦ, Kœhl. Bekk. Heind. in preference to τοῦ; the necessity of the correction being evident from c. 28. οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. Socrates expresses himself as supr. in Xenoph. Apol. s. 23. ὅτι τὸ ὑποτιμᾶσθαι ὁμολογοῦντος εἴη ἀδικεῖν.

Τί δείσας; ἦ μὴ πάθω.] *Through fear of what?* [should I acquiesce in the order to assign a penalty for myself?] *is it lest I should suffer what Melitus assigns me?* i. e. Socrates would not allow the probability of his being sentenced to death, as proposed in the indictment, to divert him from the unwavering assertion of his innocence, which he felt that it would be an injustice to himself to render dubious, under the influence of fear, by a voluntary amercement.

οὗ Μέλιτός μοι τιμᾶται, ὅ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαί τι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων, τούτου τιμησάμενος; πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ [τοῖς ἕνδεκα]; ἀλλὰ χρημάτων, καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταὐτόν μοι ἐστιν ὅ περ νῦν δὴ ἔλεγον· οὐ γὰρ ἔστι μοι χρήματα ὁπόθεν ἐκτίσω. Ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι ὅτι ὑμεῖς μὲν ὄντες πολῖταί μου οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι· ἄλλοι δὲ ἆρα αὐτὰς οἴσουσι ῥᾳδίως. πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη, ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ, ἄλλην ἐξ ἄλλης πόλιν πόλεως ἀμει-

Μέλιτός—τιμᾶται.] This verb is used in the middle voice in reference to the accuser and accused; *τούτου τιμησάμενος*, infr. in the active of the judges; *ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε*, infr.

Ἕλωμαί τι ὧν εὖ οἶδ. ὅτι.] i. q. ἕλωμαί τι τούτων, or ἐκείνων, ἃ εὖ οἶδα ὅτι κακά ἐστιν: or, ἕλωμαί τι τῶν εὖ οἶδα, κακῶν ὄντων; both of which constructions appear to be combined in the text. STALL. Cf. Gorg. p. 481. D. *αἰσθάνομαι οὖν σου ἑκάστοτε καί περ ὄντος δεινοῦ, ὅτι, ὑπόσ' ἂν φῇ σου τὰ παιδικά, καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντιλέγειν, ἀλλ' ἄνω καὶ κάτω μεταβαλλομένου.*

Τοῖς ἕνδεκα.] These magistrates were selected from the ten tribes, one from each, to whom was added a registrar, γραμματεύς, to complete the number, eleven. They were called also *νομοφύλακες*, *keepers of the laws*, from the nature of their office, which consisted in superintending the execution of malefactors, and taking charge of such as were committed to the public prison. Hesych. Ἕνδεκα· ἄρχοντες, οἷς παρεδίδοντο οἱ θανάτῳ καταδικασθέντες. Etymol. M. e Lex. Rhetor. Ἕνδεκα—προεστηκότες τοῦ δεσμωτηρίου. Cf. in Criton. c. 2. οἱ τούτων κύριοι. in Phædon. c. 2. οἱ ἄρχοντές. These magistrates sat as judges in a court called Παράβυστον μέσον; see Potter, Græc. Antiq. 2. c. 21.

Δεδέσθαι ἕως ἂν ἐκτίσω.] Those upon whom a pecuniary fine was imposed, were imprisoned until it was discharged; which in the case of Socrates would have been a perpetual confinement, as he had not the means of paying it, so that this would be the same as if he had sentenced himself to the custody of the eleven at once; *ταὐτόν μοί ἐστιν ὅ περ*, etc.

Εἰ οὕτως ἀλόγιστός εἰμι.] Cf. c. 12. supr. extr. Εἰ εἰς—διαφθείρει; and c. 17. extr. Εἰ μὲν οὖν—διαφθείρω—ταῦτ' ἂν εἴη βλ.

Ἄλλοι δὲ ἆρα αὐτάς, κ. τ. λ.] This is to be taken ironically, as also infr. *καλὸς οὖν ἄν μοι ὁ βίος εἴη*. FISCH.

βομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι ὥσπερ ἐνθάδε. κἂν μὲν τούτους ἀπελαύνω, οὗτοι ἐμὲ αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι δι' αὐτοὺς τούτους.

§. 28. Ἴσως οὖν ἄν τις εἴποι, Σιγῶν δὲ καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσει ἡμῖν ἐξελθὼν ζῆν; Τουτὶ δὴ ἔστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάν τε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἐστὶ καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖ λέγω ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι καὶ τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἀκούετε διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδια. Καὶ ἐγὼ ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δέ —οὐ γὰρ ἔστιν, εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην

Ἐξελῶσι.] Ἐλάω, the th. of ἐλαύνω, seldom occurs in the present tense, but ἐλῶ, ἐλᾷς, ἐλᾷ, &c. infin. ἐλᾶν, is in prose the Attic future. Buttm. Int. Gr. Gr. p. 252. So Mœris: Ἐλῶ, Ἀττικῶς· ἐλάσω, Ἑλληνικῶς.

§. 28. Ὡς εἰρωνευομένῳ.] Εἰρωνεία, as applied particularly to Socrates, signifies a method of argument conducted chiefly by affecting ignorance, and putting captious questions; the answers of the antagonist furnishing their own refutation, and often exposing him to ridiculous contradictions. Donneg. Gr. Lex.

Μέγιστον ἀγαθὸν ὄν.] Many editions omit the particip. ὄν, incorrectly; Phrynic. p. 120. Τυγχάνω· καὶ τοῦτο προσεκτέον. Οἱ γὰρ ἀμελεῖς οὕτω λέγουσι, φίλος σοὶ τυγχάνω, ἐχθρός μοι τυγχάνεις· δεῖ δὲ τῷ ῥήματι τὸ ὢν προστιθέναι, φίλος μοι τυγχάνεις ὤν, ἐχθρός μοι τυγχάνεις ὤν. Οὕτω γὰρ οἱ ἀρχαῖοι ἐχρήσαντο. Cf. c. 17. supr. οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ, κ. τ. λ.

Ἀνεξέταστος βίος.] *Vita ea, quum quis, neque ipse suum animum excutit neque eum ab aliis excuti jubet, ut videat, verene sapiens sit et virtute ornatus, an sibi videatur tantum talis esse; ut videat, quam longe progressus sit in studio sapientiæ et virtutis, quantum spatii restet quod sit conficiendum.* Fisch. Βίος οὐ βιωτὸς· i. q. βίος ἀβίωτος, Hesych. interpr. ἀηδής: *a joyless existence.* Cf. in Criton. c. 8.

Νῦν δέ—οὐ γὰρ ἔστιν.] After νῦν δὲ intell. οὐ δύναμαί μοι τιμήσασθαι

ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. τιμῶμαι οὖν τοσούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

---

§. 29. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτην ἀπεκτόνατε, ἄνδρα σοφόν· φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μὴ εἰμί, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο· ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς

χρήματων. Most editions join νῦν δε with what follows, but do not attempt any explanation of γάρ. The aposiopesis, as in the text, is decidedly the more correct. Cf. Plat. Sympos. 8. Εἰ μέν γὰρ εἷς ἦν ὁ Ἔρως, καλῶς ἂν εἶχε· νῦν δέ— οὐ γὰρ ἔστιν εἷς· intell. οὐ καλῶς ἔχει. —Εἰ μὴ ἄρα. Sometimes εἰ μὴ expresses, not so properly a condition as the sarcastic *nisi forte, unless forsooth.* Matthiæ, Gr. s. 617. c.

Ἐγγυᾶσθαι.] Intell. φασί, ὑπισχνοῦνται, or some such word, the sense of which is implied in κελεύουσί preced. —Ἐγγυητής, Etymol. M. ὁ ἀναδεχόμενος δίκην.—Ἀξιόχρεως μέν ἐστιν ὁ ἐπιλῦσαι τι ἱκανός. Ammon. FISCH.

§. 29. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου.] Socrates having amerced himself, in obedience to the laws, in a penalty of thirty minæ, it remained for the judges to pass the decretory sentence confirming the fine. But irritated by the independent spirit and dauntless energy of his demeanour and defence, and too successfully tampered with by the persevering assiduity and art of his accusers, they decided upon his death. What follows Socrates is supposed to have addressed to them when acquainted with the result. Οὐ πολλ. γ' ἕνεκ. χρόν. *propter non longum temporis spatium.* Steph. i. q. εὐτελεστάτου ἕνεκα κέρδους. SERRAN. Socrates having arrived at a very advanced period of life, his accusers, by succeeding in their malicious designs, secured but an unenviable triumph, that of anticipating by a very short interval his natural decease, εἰ γοῦν περιεμ. &c. infr.—Ὄνομα ἕξετε καὶ αἰτίαν, *you shall incur, from those who are anxious to calumniate the city, the censure and reproach, etc.*

Ὑμῖν τοῦτο ἐγένετο.] Sc. ἐμὲ τεθνάναι.

Πόρρω ἤδη ἐστὶ τοῦ βίου.] h. e. *ætatem meam eo provectam esse, ut non longum sit reliquæ vitæ spatium.* STALL. So Plutarch. Vit. Demosth. p. 846. E. ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἠψάμεθα Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. Cf. Matthiæ Gr. s. 340. 3.

τοὺς αὐτοὺς τούτους. Ἴσως με οἴεσθε, ὦ ἄνδρες, ἀπορίᾳ λόγων ἐαλωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾠμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ γε δεῖ. ἀλλ' ἀπορίᾳ μὲν ἐάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἳ' ἂν ὑμῖν μὲν ἥδιστ' ἦν ἀκούειν, θρηνοῦντος τ' ἐμοῦ καὶ ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν· οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτ' ἐμὲ οὔτε ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ἄν τις ἐκφύγοι καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. καὶ νῦν ἐγὼ μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης ὑπὸ τοῦ βραδυτέρου ἑάλων, οἱ δ' ἐμοὶ κατήγοροι ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος, τῆς κακίας. καὶ νῦν

Ἴσως με οἴεσθε, κ. τ. λ.] *Perhaps you imagine that I have been convicted from a deficiency in arguments such as I could have persuaded you by, had I thought it incumbent on me to make every exertion by word and deed to escape from punishment.—ἅπαντα ποιεῖν, πᾶν ποιεῖν, omnem lapidem movere, nihil intentatum relinquere.* STALL.

Ἐκείνως.] Intell. ἀπολογησάμενος.

Ὥστε διαφεύγειν θάνατον.] See Matthiæ Gr. s. 540. Obs. 3.

Ἐάν τις τολμᾷ πᾶν ποιεῖν.] Steph. in marg. *si quis sustinuerit quidvis facere et dicere:* q. d. *si quem non pudeat quidvis f.*

Ἑάλων.] Socrates plays upon this word, which signifies properly *to overtake and seize one by running*, and uses the phrase ὑπὸ τοῦ βραδυτέρου ἁλῶναι in reference to his having been condemned himself to death by the judges; and ὑπὸ τοῦ θάττονος, τῆς κακίας, in reference to his accusers, who were consigned to infamy by the voice of truth.

ἐγὼ μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὄφλων, οὗτοι δ' ὑπὸ τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἐγώ τε τῷ τιμήματι ἐμμένω καὶ οὗτοι. Ταῦτα μὲν οὖν που ἴσως οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

§. 30. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ καταψηφισάμενοί μου· καὶ γαρ εἰμι ἤδη ἐνταῦθα, ἐν ᾧ μάλιστ' ἄνθρωποι χρημῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες, οἱ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δί' ἢ οἵαν ἐμὲ ἀπεκτόνατε. νῦν γὰρ τοῦτο εἴργασθε οἰόμενοι ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου. τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλείους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ἠσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται ὅσῳ νεώ-

Ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν.] h. e. *a veritate improbitatis et injustitiæ convicti et condemnati.* STALL.—Τῷ τιμήματι ἐμμένω, *paratus sum pœnam, qualis a vobis æstimata est subire*, h. e. *mori.* FISCH.—Μετρίως ἔχειν, h. e. *recte se habere: μέτρια, quæcunque conveniunt, et decent viros honestos et bonos: recta, honesta.* FISCH.

§. 30. Ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδ.] The ancients believed that as death, and consequently the period of disunion between soul and body, approached more nearly, the dying were endued with the faculty of foresight, and the spirit, freed from its material fetters, and mingling with the more congenial elements of the celestial world, was thus enabled to prophesy the course of human events. See Cic. de Divin. i. 30. Davis, interpr. Cf. Eustath. in Iliad. p. 1089. Ἔστι δὲ δόγμα παλαιὸν, ὡς ὅτι ἀπαλλασσομένη σώματος ἡ ψυχὴ, καὶ θεία φύσει ἐγγίζουσα, ἔχει τι μαντικῆς. Ἀρτέμωνα δέ φασι, τὸν Μιλήσιον, λέγειν ἐν τῷ περὶ Ὀνείρων, ὡς ὅτε ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος, πρὸς τὸ ἐκκριθῆναι μαντικωτάτη γίνεται. Cf. Iliad. xxii. 358. Æneid. iv. 622. Instances of prophetic inspiration, towards the close of life, are not rare in Holy Writ; See Genesis, c. 49. Deuteronomy, c. 33. etc.

Τιμωρίαν ὑμῖν ἥξειν.] According to Laertius, and others, this prediction of Socrates was borne out by the result. The Athenians, with their characteristic fickleness, soon found cause for a bitter repentance of their most iniquitous and merciless proceeding. Melitus was torn in pieces, and the rest of the accusers, and their party, were either expelled the state or died by their own hands, while every possible respect was paid to the memory of Socrates, as a benefactor of the republic.

Ἢ οἵαν ἐμὲ ἀπεκτόνατε.] h. e. *quam qua me affecistis.* STALL.—Τοῦ διδόναι ἔλεγχον τοῦ βίου, h. e. *ne vita exploretur, eoque reprehendatur.* ID.

Χαλεπώτεροι.] sc. τοσούτῳ. See c. 17. supr. sub. fin. Μᾶλλον δὲ τοῖς ἀστ. κ. τ. λ. n.—Ἀποκτείνοντες ἀνθρώπους—Steph. in marg.—*homines interficiendo, fore, ut deterreatis omnes ab exprobanda inhonesta vita, non recte sentitis.* Ficinus omits ὅτι οὐκ ὀρθ. ζῆτ. See Lat. Interpr.

τεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε. εἰ γὰρ οἴεσθε ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐ καλῶς διανοεῖσθε· οὐ γάρ ἐσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυνατὴ οὔτε καλή, ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' ἑαυτὸν παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. Ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος ἀπαλλάττομαι.

§. 31. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς φίλοις οὖσιν ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτε νοεῖ. Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί—ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην—θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅ περ

Μὴ τοὺς ἄλλους κολούειν.] This verb signifies, literally, *to amputate*, or *maim by cutting short*, thence *to hinder, prevent*, or *suppress*. Κολούει, Hesych. interpr. κωλύει.

§. 31. Οἱ ἄρχοντες.] sc. οἱ Ἕνδεκα. c. 27. supr. Into their custody the condemned were committed by the judges; upon which they gave the necessary directions to the attendants, ὑπηρέταις, to prepare every thing for the execution of the sentence. By ἀσχολιαν ἄγουσι Socrates alludes to their having been so occupied at the time, as by οἷ ἐλθόντα με δεῖ τεθ. to the prison whither he was to be immediately led. Διαμυθολογῆσαι, *confabulari*; h. e. *disserere, colloqui*: Cf. in Phædon. c. 14. sub. fin.

Δικαστὰς καλῶν.] *If I called you judges.* Matthiæ Gr. s. 558.

Εἰωθυῖα μοι μαντική.] Intell. φωνή—Ἡ τοῦ δαιμονίου, h. e. *ea* (vox vaticinatrix) *videlicet, quam dæmonio illi, de quo mentionem supra injeci, debeo.* STALL. Socrates, c. 19. supr., speaking of this φωνή, calls it θεῖον τι καὶ δαιμόνιον, something of a celestial and angelic character; in the text he mentions it more directly as the warning and admonitory influence, τοῦ δαιμονίου, of his guardian genius. Schleiermacher would omit ἡ τοῦ δαιμονίου, as a mere gloss upon μαντική; but Socrates evidently intends to express here the mode in which the agency of his genius was made effectual, and the nature of the result.

Εἴ τι μέλλοιμι.] h. e. *quotiescunque in eo essem, ut*, etc. STALL.

ὁρᾶτε καὶ αὐτοί, ταυτί, ἅ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι. ἐμοὶ δὲ οὔτε ἐξιόντι ἔωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτ' ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι ἐρεῖν· καί τοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ. νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι. μέγα μοι τεκμήριον τούτου γέγονεν· οὐ γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

§. 32. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. Δυοῖν γὰρ θάτερόν ἐστι

Οἰηθείη ἄν τις καὶ νομίζεται.] i. e. *which any one would imagine to be, and are actually considered as the very verge of misfortune.* Ficinus appears to have read *νομίσαιτο*, but the members of the sentence are distinct, as already stated. For the construction, *ἅ*, put once with verbs of different government, see Matthiæ Gr. s. 428. 2.

Ἐπὶ τὸ δικαστήριον.] Cic. de Divin. i. 54. "Illud tamen ejus philosophi (Socratis) magnificum, ac pæne divinum, quod, cum impiis sententiis damnatus esset, æquissimo animo se dixit mori: neque enim domo egredienti, neque illud suggestum, in quo causam dixerat, adscendenti, signum sibi ullum, quod consuesset, adeo, quasi mali cujus impendentis datum."

Λέγοντα μεταξύ.] h. e. *eo ipso tempore, quo dicebam, inter dicendum.* STALL. *μεταξὺ* is elegantly joined with participles in any case with the signification of *inter*, and gerunds in *dum* in Latin, and of *while, during, in the middle of, &c.* in English. Æschin. Ctesiphon, p. 306. l. 28. *τίς ἂν εἴη τοιοῦτος ἰατρὸς, ὅστις τῷ νοσοῦντι μεταξὺ ἀσθενοῦντι μηδὲν συμβουλεύοι; during his illness.* Demosth. pro Cor. p. 284. ed. Reisk. *εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες; in the middle of supper.* Seag. Viger. c. vii. s. 9. r. 1.

Τί οὖν—ὑπολαμβάνω;] Stephens and Ficinus omit the note of interrogation, but as Stallbaum correctly observes, this mode of self-interrogation not only adds to the point and spirit of the subject, but is quite in conformity with the style of Plato's dialogists.

Τὸ εἰωθὸς σημεῖον.] Sc. *ἡ εἰωθυῖα μαντική*, supr.

§. 32. Ἐννοήσωμεν, κ. τ. λ.] This chapter has attracted the peculiar attention of many of the ancient writers. V. Euseb. Præpar. Evang. xiii. 10. p. 661. Stob. Serm. c. 119. p. 606. Theodoret. Therapeut. Serm. xi. p. 651. Cic. Tuscul. Disput. 1. 41. &c.

Δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι.] It is not to be supposed that Socrates calls in question here the immortality of the soul; his own conviction on the subject is fully and satisfactorily demonstrated through the course of the Phædo. But he alludes in the text to the two conflicting opinions of philosophers, some of whom supposed that the

τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδ' ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας

soul survived, and others that it perished with the body. In either case he argues that death is not an evil; as an eternal and dreamless sleep it should of necessity be unaccompanied by any feeling of either pleasure or pain arising from past or present circumstances, whereas if death were merely an affection of the body by which the spirit was wholly uninfluenced, it should not only outlive its mortal frame, but enjoy the pure and perfect happiness arising from communion with the just. It must be understood, however, that Socrates only treats of this alternative with reference to those whose lives, like his own, had been such as to warrant them in the anticipation of future felicity; the eternal punishment of the guilty, in the world beyond the grave, was a no less prominent feature than the former in the doctrine and discipline of this exalted sage.

Ἢ γὰρ οἷον μηδὲν εἶναι.] h. e. *τοιοῦτόν τι ὥστε μηδὲν εἶναι*, as also infr. *εἰ δ' αὖ οἷον ἀποδημῆσαι ἐστιν ὁ θάνατος*. Eusebius and Theodoret, in quoting this passage, read *μηδέν τι εἶναι*, whence the conjecture of Heindorf, *μηδὲν ἔτι εἶναι*.

Μετοίκησις τῆς ψυχῆς.] Stob. Cod. Euseb. Oxon. *τῇ ψυχῇ*; approved by Stallbaum, who refers to Matthiæ Gr. s. 389. 1. Cf. Cic. Tusc. 1. 12. "Mortem non ita interitum esse omnia tollentem atque delentem, sed quandam quasi migrationem commutationemque vitæ." Antonin. Philos. vii. 32. *Περὶ θανάτου —ἤτοι σβέσις, ἢ μετάστασις*. Senec. ep. 65. "Mors quidem est, aut finis aut transitus."

Καὶ εἴτε δὴ μηδεμία—.] Εἴτε refers to the second hypothesis, *εἰ δ' αὖ οἷον*, κ. τ. λ., further on.

Θαυμάσιον κέρδος.] Aristotle, though brought up in the school of Plato, deduces, from the same principles as those in the text, a very different conclusion: Eth. Nicom. iii. 6. *φοβερώτατον δ' ὁ θάνατος· πέρας γάρ· καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ, οὔτε ἀγαθὸν, οὔτε κακὸν εἶναι*. Epicurus, however, uses this Socratic argument against the fear of death, which he asserts that philosophy is able to conquer by teaching that it is not a proper object of terror, since while we are, death is not, and when death arrives we are not: so that it neither concerns the living nor the dead. Enfield's Philosophy, v. 1. p. 514.

Ἐγὼ γὰρ ἄν οἶμαι, κ. τ. λ.] i. e. *For I imagine that if one were obliged; having selected the particular night during which he slept without dreaming, and having contrasted with this the other nights and days of his life; were obliged* [I repeat] *to consider and say how many days and nights he had passed, through his existence, better and more agreeably than this night; I think* [I say] *that not only a private person, but the mighty sovereign himself, would find them easily counted* [i. e. very few] *in comparison with other days and nights;* i. e. in a life where sorrow and suffering are admitted to be so widely disproportionate to its pleasures and tranquillity, it must be also conceded that the enjoyment of the latter is as limited and transient as the influence of the former is extended and enduring.—Μὴ ὅτι ἰδιώτην, h. e. *ne privatum aliquem*. STALL. On *μὴ ὅτι*, for *οὐχ ὅπως*, see Matthiæ Gr. s. 624. 4.—Τὸν μέγαν βασιλέα, the king of Persia, so called *κατ' ἐξοχήν*.—*εὐαρίθμητοι ἡμέραι, dies admodum perpauci*. Pollux. iii. 88.

τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινὰ ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵ περ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτ' ἐστὶν ἀληθῆ, ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐ-

Οὐδὲν πλείων.] Fischer, from Eusebius, reads πλεῖον; adopted by Ficinus; but πλείων is preferable in the sense of *longior, more lasting.*

Μίνως τε καὶ Ῥαδάμανθυς, κ. τ. λ.] For this construction see Matthiæ Gr. s. 474. *b.* and the parallels adduced. Triptolemus, and the demigods alluded to in the text, were classed among the judges of the lower regions, probably from some popular superstition originating in, and connected with the Eleusinian mysteries. For Triptolemus was said not only to have instructed the Athenians in agriculture, but to have suggested a code of laws, especially relating to the boundaries and division of lands, whence he obtained the title of θεσμοφόρος. Creuzer, Mytholog. iv. p. 101. sq.

Μὲν γὰρ.] *Profecto sane.* BUTTM.

Θαυμαστὴ—ἡ διατριβὴ, κ. τ. λ.] See Matthiæ Gr. s. 636. p. 1145. *Conversatio delectabilis, si colloqui licebit cum P.* etc. WOLF. opp. to φαύλη ἡ ἀποδημία, supr. *vita, peregrinatio, injucund. neque beata.* FISCH.—Παλαμήδει—stoned by the Greeks, through the stratagems of Ulysses, v. Æneid. ii. 81. sq. Socrates, in Xenoph. Apol. s. 26, mentions the similarity between the cause of Palamedes and his own. Lucian, in allusion to this, as also to the passage in the text, makes Palamedes the sole companion of Socrates in the infernal regions. Ajax, son of Telamon, slew himself when Ulysses was adjudged, in preference, the armour of Achilles, Homer. Odys. λ'.

τόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγῷμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ καὶ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥς περ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν σοφός ἐστι καὶ τίς οἴεται μὲν, ἔστι δ' οὔ. ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν ἢ Ὀδυσσέα ἢ Σίσυφον, ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας, οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας πάντως. οὐ δή που τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴ πέρ γε τὰ λεγόμενα ἀληθῆ ἐστίν.

§. 33. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται

Ἀντιπαραβάλλοντι — ἀηδὲς εἴη.] This is to be understood as an explanation of θαυμαστὴ διατριβή, supr. whence there is no necessity for inserting, with Viger, καὶ before ἀντιπαραβαλλ. or of reading with Stephens, ἀντιπαραβάλλοντα, and consequently explaining the passage, οὐκ ἂν ἀηδὲς εἴη ἐμὲ διάγειν ἀντιπαραβάλλοντα, καὶ δὴ καὶ ἐξετάζοντα, κ. τ. λ.— FISCH.

Ἢ ἄλλους μυρίους ἄν τις εἴποι.] Stephens proposes οὓς μυρίους, probably following Ficinus. v. Lat. Interpr. Fischer would separate the passage from what preceded altogether, and so make a new sentence of it. But the construction is fully explained in Matthiæ Gr. s. 474. *d.* s. 472. 3. Cf. Gorg. 483. D. Ἐπεὶ ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν; ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ τοὺς Σκύθας; ἢ ἄλλα μυρία ἄν τις ἔχοι τοιαῦτα λέγειν. Phædon. c. 43. καὶ ἄλλα που μυρία, κ. τ. λ. HEUSD.

Ἀμήχανον ἂν εἴη εὐδαιμονίας.] h. e. *immensum esset respectu felicitatis.* STALL. i. q. ἀμήχανος ἂν εἴη εὐδαιμονία. Cf. Theætet. p. 175. A. ἄτοπα αὐτῷ καταφαίνεται τῆς σμικρολογίας. See Matthiæ Gr. s. 320.— Ἐξετάζειν— Socrates intends by this, that he would examine into the principles and feelings, by which those with whom he expected to associate had been influenced during their lives, and the wisdom of which they actually were, or imagined themselves to be then possessed of; not that he would make such inquiries, and promote such discussions, as if their errors and inexperience had continued to attend them, and were still liable to be confuted, when their earthly ordeal was past.

§. 33. Ἀλλὰ καὶ ὑμᾶς χρή.] i. e. *Vos judices qui me absolvistis.* CIC. Tusc. 1. 41.

ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι. διὰ τοῦτο καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψε τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω. καί τοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν· τοῦτο αὐτοῖς ἄξιον μέμφεσθαι.

Τοσόνδε μέντοι αὐτῶν δέομαι. τοὺς υἱεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες ἃ περ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δοκῶσί τι εἶναι μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς ὥς περ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ καὶ οἴονταί τι εἶναι ὄντες οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ υἱεῖς.

Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι ἐμοὶ μὲν ἀποθανου-

Ὅτι ἤδη τεθνάναι — βέλτιον ἦν μοι.] Cf. Young, N. T. iii. 495—500. 511—515.

—— Death is victory;
It binds in chains the raging ills of life:
Lust and Ambition, Wrath and Avarice,
Dragged at his chariot-wheel, applaud his power.
That ills corrosive, cares importunate
Are not immortal too, O Death, is thine.
And feel I, then, no joy from thought of thee,
Death, the great Counsellor, who man inspires
With every nobler thought and fairer deed!
Death, the deliverer who rescues man!
Death, the rewarder who the rescued crowns!

Οὐ πάνυ.] *Non magnopere.* STALL.

Δέομαι, κ. τ. λ.] *Peto a vobis, Athenienses, quum filii mei adoleverint, ut eos ulciscamini, easdem illis molestias exhibente* [λυποῦντες, h. e. eos ad virtutem cohortantes, tentantes eorum sapientiam, convincentes eos stultitiæ. STALL.] *quas ego vobis exhibere consueveram, si, aut pecuniæ, aut ullius omnino rei, quam virtutes studiosiores esse videantur.*— FISCH.—Τιμωρήσασθαι — λυποῦντας, Salvin. adopted also by Ficinus.

Ἀλλὰ γὰρ ἤδη ὥρα.] This simple but essentially sublime conclusion is in perfect accordance with the tone of the entire Apology. It was in vain to present the intrepid front of integrity and innocence to the iniquitous array of those dark and malignant [passions, which were the more effective and successful because unscrupulous in the extent and character of their resources. The vaguest and most unfounded falsehoods were brought to bear upon the clearest truth; detraction and envy were busied in misinterpreting the amiable proposals of a wise and beneficent philosophy: the language and exhortations that were addressed with a moral, were received as with a depraved intent: the correction of vice was stigmatized as presumption, and encouragement to virtue condemned as a crime. The accusers prevailed, and the annals of Athens were stained with a reproach perhaps unparalleled. But the object of this deadly persecution, undaunted through its progress, met calmly its result. He forgave the act of his accusers, for, so far, he was alone concerned, but he deprecated the motive, for it affected the well-being of society

μένῳ, ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

at large. In fine, he addresses them: "It is now time to depart—for me, to die; for you, to live; but which to the happier destiny, the Deity alone can tell."

Μὴ ἀφιέντων Ἀθηναίων.] *Without leave of the Athenians:* ἀφιέναι, *sinere, permittere.* FISCH. Cf. Eurip. Med. 374. τήνδ' ἀφῆκεν ἡμέραν μεῖναί με, *allowed me to remain this day.* Cod. Tubing. ἐφιέντων as in c. 13. extr.

Ἐῶμεν.] *Let us give it over.*

Περί τε χρημάτων ἀναλώσεως.] See c. 4. a med.—Καὶ δόξης; Ficinus appears either to have read καὶ τῶν πολλῶν δόξης, or to have given the sense of the text as supr. in full. Socrates alludes here to the argument of Crito, c. 3. init.

λώσεως καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ἢ τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ἢ ὃ περ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν ταῦτα πάντα ποιοῦντες· κἂν εἰ φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἄποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ὅρα δὲ τί δρῶμεν.

Μὴ ὡς ἀληθῶς.] The imperative ὅρα is understood in *μὴ* here and infr. *μὴ οὐδὲν ἄλλο*: *Vide ne aliud nihil considerandum sit—μὴ οὐ δέῃ*: *Vide, ne nulla ne mortis quidem habenda sit ratio.* STEPH.

Σκέμματα.] i. q. *σκέψεις* supr.

Καὶ ἀναβιωσκομένων.] *Ἀναβιώσκεσθαι, in vitam revocare, vitam reddere, si tua intersit, si tibi ipsi prosis.* FISCH. Cf. in Phædon. c. 38. sub. fin. *καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι.* Wyttenbach, Ep. Crit. 232. ed. Lips., proposes *ἀναβιωσκομένων γ' αὖ*, incorrectly, for *ἄν*, subjoined to participles and infinitives, gives to these moods (not the sense of the future, although in Latin it can only be expressed by this sense, but) the same signification as the optative, conjunctive, or indicative, with *ἄν*, would have in the resolution, by means of the finite verb. Whence the passage above is to be explained; *καὶ τούτων, οἳ ἀνεβιώσκοντό γ' ἄν, εἰ οἷοί τε ἦσαν, and who would restore to life again, were they capable.* Matthiæ Gr. s. 598. 1.—Τούτων τῶν πολλῶν; contemptuously, cf. c. 4. supr. *τούτους τοὺς συκοφάντας.*

Ὁ λόγος οὕτως αἱρεῖ.] *Quum res, quum ratio, ita postulet et dictet.* FISCH. Cf. Horat. Sat. ii. 3. 250. "Si puerilius his, *ratio* esse *evincet* amare."

Χρήματα τελοῦντες.] It is to be observed that *τελειν* is applied with propriety to *χρηματα* only; *χάριν ἔχειν*, and *χάριν εἰδέναι* or *προσειδέναι*, also *χάριν ἀποδιδόναι* and *ἐκτίνειν* are usual forms, but not *χάριν τελεῖν*. It should have been written *χρήματα τελοῦντες — καὶ χάριτας προσειδότες*; Cf. Apol. Socr. c. 4. init. The Greek writers, however, not unfrequently accommodated the same verb to several nouns, to one only of which it should have been joined, but at the same time, in a sense so extended, that it contained the force of the verbs which belonged properly to the other nouns. This practice originated with the Hebrews, by whom it was transmitted to the Greeks, and so to the Latins. Cf. Cic. pro. Arch. 3. "Quorum alter res ad scribendas maximas, alter, cum res gestas, tum etiam studium, atque aures adhibere posset."

Κἂν φαινώμεθα ἄδικα, κ. τ. λ.] i. e. *And if we should so appear to act unjustly, observe that we are not to take into account the death that must result from our remaining and keeping quiet here, nor any other suffering whatever, in preference to the injustice of the act*; [i. e. should we accomplish our es-

ΣΩ. Σκοπῶμεν, ὦ ᾽γαθέ, κοινῇ, καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε καί σοῖ πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι, ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ἢ ἂν μάλιστα οἴῃ.

ΚΡ. Ἀλλὰ πειράσομαι.

§. 10. ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι, ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅ περ καὶ ἄρτι ἐλέγετο. ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί, καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοί-

cape.] Παραμένειν, *manere in vinculis neque inde aufugere.* STALL. It is properly applied to faithful slaves, παραμόνοι, opp. to ἀποδιδράσκοντες.

Ὡς ἐγὼ περὶ πολλοῦ.] Commentators have varied considerably in their explanations of this passage, of which they severally propose such emendations as may best accord with their own views. The text as it stands is interpreted accurately by Stallbaum: *Magni æstimo te mihi iterum iterumque persuadere conari, ut id agam,* h. e. *ut fugam capessam, modo ne me invito hoc facias,* i. e. more fully, *generosam tuam amicitiam, qua fit, ut mihi hoc consilium identidem suadeas* (the aorist being expressive of an action repeated) *utique plurimi facio, sed noli hoc committere, ut meæ ipsius voluntati ac sententiæ nihil tribuas, quum ego soleam non rerum externarum momentis commoveri, sed solius veritatis virtutisque rationibus.* Socrates attached a due importance to the benevolent efforts of his faithful friend, but he could not allow himself to be persuaded against his own conviction, ἀλλὰ μὴ [μού] ἄκοντος, which being not at all likely to be overcome by the arguments of Crito, he begs of him to resign the vain attempt. So V. Cousin: *Cesse enfin, je te prie, de me presser de sortir d'ici malgré les Athéniens; car je serai ravi que tu me persuades de le faire, mais je n'entends pas y être forcé.* Ficinus has strayed altogether from the sense and spirit of the passage. V. Lat. Int. For μὴ ἄκοντος several editions read μὴ ἄκοντα, which is probably more correct, but the genitive absolute is often found, though the subject is another case, in the principal proposition, especially if it is to be distinguished by the emphasis. Cf. Thucyd. vii. 48. χρημάτων μὲν ἀπορίᾳ αὐτοὺς ἐκνυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων.

Ἀποκρίνεσθαι τὸ ἐρωτώμενον.] See Matthiæ Gr. s. 409. 6.

§. 10. Ἑκόντας ἀδικητέον εἶναι.] Cf. Plat. Repub. 7. p. 520. D. καταβατέον ἐν μέρει ἕκαστον εἰς τὴν τῶν ἄλλων ξυνοίκησιν. For this construction, see Matthiæ Gr. s. 447. 4.

Ἐκκεχυμέναι εἰσί.] *Profusæ,* i. e. *abjectæ sunt.* STALL. Jacobs elegantly compares the forms ἐκχεῖν πλοῦτον, ἐκχεῖν χρήματα.—Γέροντες ἄνδρες is

δε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὡς περ τότε ἐλέγετο ἡμῖν; εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πραότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ φαίνεται.

ΣΩ. Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δή που, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.

redundant, but contrasts more strongly with *παίδων* seq. Cf. Apol. Socr. c. 23. *τηλικόνδε ὄντα*. c. 27. *τηλικῷδε ἀνθρώπῳ*.

Παντὸς μᾶλλον.] *Unquestionably, beyond all doubt:* a particularly emphatic affirmation. Cf. in Phæd. c. 17. c. 56.

Ὅμως τό γε ἀδικεῖν.] So, in Gorg. p. 469. when Socrates is asked by Callicles; *σὺ ἄρα βούλοιο ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν*, he makes answer: *βουλοίμην μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι, ἢ ἀδικεῖν.*

Ὡς οἱ πολλοὶ οἴονται.] Cf. Archil. apud Theophil. ad Autolyc. ii. 37. *ἓν δ' ἐπίσταμαι μέγα, τὸ κακῶς τι δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς*. Solon, in Brunck. Poet. Gnom. p. 73. *εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν· τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν*. Fragm. Eurip. ap. Valcken. p. 157. *ἐχθρὸν κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος*. That such was the opinion of the vulgar can be proved by many ancient authorities, forbearance having been commonly deemed inconsistent with fortitude.

Οὐδ' ἂν ὁτιοῦν πάσχῃ.] *Si vel maximis et gravissimis injuriis efficiatur.* STALL. Euseb. Theodoret. *πάσχῃ τις ὑπ.* Ficinus reads *πάσχῃς, passus fueris*, but it is more correctly taken in the person of *κακῶς πάσχοντα* preced., besides that it refers to the indefinite subject of the infinitive *ἀνταδικεῖν*.

καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔτι δοκεῖ· σοὶ δ' εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δὲ ἐμμένεις οἷς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε.

ΚΡ. Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε.

ΣΩ. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ. πότερον ἃ ἄν τις ὁμολογήσῃ τῷ δίκαια ὄντα ποιητέον ἢ ἐξαπατητέον;

ΚΡ. Ποιητέον.

§. 11. ΣΩ. Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν πότερον κακῶς τινὰς ποιοῦμεν, καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;

Matthiæ Gr. 205. 2. For an analysis of the principle deprecated by Socrates as supr. see Dr. Brown's Philosophy of the Human Mind, sect. 63. and Dugald Stewart, Philos. of the Active and Moral Powers of Man, c. 3. sec. 6.

Βουλεύματα.] i. q. *σκέψεις* and *σκέμματα*, c. 9. supr.

Οὔτε κακῶς πάσχοντα.] i. e. *Nor that one who is ill-used should revenge himself, requiting evil for evil.* Ficinus incorrectly refers *ἀντιδρῶντα κακῶς* to the aggressor.

Τῆς ἀρχῆς.] *The principle: disputationis principium.* STALL.

Τὸ μετὰ τοῦτο.] The conclusion deduced from the principle, as supr.—Ἀλλὰ λέγε, omitted by Ficinus, but incorrectly, as appears from λέγω δὴ αὖ τὸ μετὰ τοῦτο seq.

§. 11. Ἐκ τούτων δὴ ἄθρει.] h. e. *jam si hæc vera sunt, nefas esse lædere quenquam ullo modo, vide quid inde sequatur.* STALL.

Μὴ πείσαντες τὴν πόλιν.] i. q. *ἀκόντων Ἀθηναίων*, or *μὴ ἀφέντων Ἀθηναίων*, c. 9. supr.

Οἷς ὡμολογήσαμεν.] h. e. *de quibus ut justis et æquis nobis cum civitate convenit.* STALL.

ΚΡ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.

ΣΩ. Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπιστάντες ἔροιντο, Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς, διανοεῖ τούς τε νόμους ἡμᾶς ἀπολέσαι καὶ ξύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; Τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτοὺς ὅτι Ἠδίκει γὰρ

Ἀποδιδράσκειν.] This term was generally applied to fugitive slaves, but its harshness is qualified by εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, h. e. *vel quo alio nomine istud nobis appellandum erit.* STALL.

Ἐλθόντες οἱ νόμοι.] This beautiful passage has been imitated by Cicero, in Catil. i. 7. "Patria—quæ tecum, Catilina, sic agit et quodam modo tacita loquitur, &c." Cf. Œuvres de Frederic II. iii. p. 54. "Que pourroient répondre ces cœurs tièdes et lâches—si la patrie personifiée se présentoit subitement devant eux, est leur tenoit à peu près ce langage, &c." BIEST. Quintilian, ix. 2. observes on the effects of this figure προσωποποιία: "Mire quum variant orationem, tum excitant—urbes etiam populique vocem accipiunt."

Τὸ κοινὸν τῆς πόλεως.] i. q. Σύμπασα ἡ πόλις, *universa civitas.* Xen. Cyrop. τὸ Περσῶν κοινὸν, Persarum civitas *universa.* FISCH. Cf. Cic. Verr. ii. 46. 63. "Commune Siciliæ," i. e. Sicilia universa; Siculi omnes. V. Cousin, *La République elle même.*

Ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ.] See Apol. Socr. c. 12. init. and Matthiæ Gr. s. 487. 9.

Τὸ σὸν μέρος.] i. q. καθ' ὅσον δύνασαι, c. 12. infr.

Εἶναι.] i. q. σῶν εἶναι, σταθῆναι, Mark, iii. 24. opp. to ἀνατετράφ. infr. *To continue, to exist;* Cf. Cic. de Off. i. 12. 38. "bellum gerebatur, uter esset, non uter imperaret."—Μὴ ἀνατετράφθαι, h. e. *neque eversam jacere.* STALL.

Αἱ γενόμεναι δίναι.] Sc. αἱ δίκαι δικασθεῖσαι, infr. *judicia e legibus facta, judicata.* STALL. V. Cousin; *les jugemens rendus.*

Τούτου τοῦ νόμου.] See Robinson's Grec. Antiq. c. xxx. extr. Demosthenes commends this law, Orat. adv. Timocrat. p. 782. Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγένοντο ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ πόλει κυρίας εἶναι.

Ὅτι Ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις.] The particle ὅτι is used when the very words of the speaker are quoted *in oratione recta,* whereas these in other languages can be only quoted in the way of narrative. Matthiæ Gr. s. 624. *b.* Heindorf preferred ὅτι ἀδικεῖ γὰρ, &c., however Socrates is not speaking in general terms of the injustice of the state, but in reference to his own peculiar case, as appears from καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε, seq. The latter verb Buttmann correctly understands as the aorist. Stallbaum explains the passage: *Enimvero injuste nobiscum civitas agebat, quum nos*

ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; Ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δί', ὦ Σώκρατες.

§. 12. ΣΩ. Τί οὖν, ἐὰν εἴποιεν οἱ νόμοι, Ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ; εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν ὅτι Ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γάρ, τί ἐγκαλῶν ἡμῖν τε καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει τι ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἦ οὐ καλῶς προσέταττον ἡμῶν οἱ

damnaret et in carcere retineret.

Ἢ τί ἐροῦμεν;] h. e. ἢ τι ἄλλο ἐροῦμεν.

§. 12. Ἦ καὶ ταῦτα ὡμολόγητο.] Various readings and interpretations have been proposed for this passage, which however has been fully and correctly explained by Fischer, as it stands in the text; ταῦτα being understood to refer to ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, κ. τ. λ. supr. and so opp. to ἐμμένειν ταῖς δίκαις seq. Whether, say the laws, was this the compact which was made between us, that you should charge the state with injustice, and its proceedings as illegal; or was it, that you would abide by the decisions which the state, with our sanction, might pronounce? At Athens, before the ephebi were permitted to be enrolled among the citizens, they were bound by an oath, in which, among other things, they promised calling the gods to witness; Τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οὓς τινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ ἂν τις ἀναιρῇ τοὺς θεσμούς, ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ, καὶ μόνος, καὶ μετὰ πάντων. Stob. Eclog. Eth. c. 41. p. 243. Gesner. It is not clear how Ficinus read the passage in the text, but he has lost sight of the meaning.

Τῷ ἐρωτ. τε κ. α.] *Question and answer.*

Οὐ πρῶτον μέν σε ἐγεννήσαμεν.] Πρῶτον μέν should properly be followed by ἔπειτα, but the sense of the latter is implied in Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου, κ. τ. λ. seq. where it might have been written: ἔπειτα οὐ καλῶς προσέταττον οἱ ἐπὶ τῇ τροφῇ τε καὶ παιδείᾳ τεταγμένοι νόμοι, παραγγ.—παιδεύειν; ἢ καὶ τούτοις μέμφει;—Καὶ δι' ἡμῶν—this explains σε ἐγεννήσαμεν preced. The Athenian law obliged all citizens, especially such as held any important office in the state, to be married, with a view to the procreation of children, which were considered as a kind of security for the good conduct of the parents, and their being well affected towards the interests of the republic. Dinarch. contr. Demosth. Meurs. Them. Att. i. 14. ii. 6.—Ἔλαβε. Cf. Mark, 12. 19. sqq.

ἢ οὐ καλῶς, κ. τ. λ.] The laws repeat here emphatically the subject of the preceding question, Ἀλλὰ τοῖς περὶ τ. τ. γ.—ἐπαιδεύθης.

ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; Καλῶς, φαίην ἄν. Εἶεν. ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς τὸν δεσπότην, εἴ σοι ὧν ἐτύγχανεν, ὥστε ἃ περ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν οὔτε τυπτόμενον ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα καθ' ὅσον δύνασαι ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφὸς ὥστε λέληθέ σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστι πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ

Ἐν μουσικῇ καὶ γυμναστικῇ.] The Greeks, with the exception of the Lacedæmonians, were accustomed to have their sons instructed in letters, γράμματα, or γραμματικὴ τέχνη, which at first denoted ἐπιστήμην τοῦ γράψαι καὶ ἀναγνῶναι, the art of writing, and with propriety. This became subsequently so extended as to be designated by the term φιλολογία, which implied a knowledge of history, poetry, eloquence, and general literature. They were also taught the gymnastic exercises, music, and, not unfrequently, painting. See in Phædon, c. 4. a med. μουσικὴν ποίει.

Καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρ.] For this species of apposition, see also Sophocl. Œd. Colon. 452. ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι, αὐτός τε παῖδες θ' αἱδ'. 864. τοιγάρ σέ, καὐτὸν καὶ γένος τὸ σὸν, θεῶν ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον τοιοῦτον.

Οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν.] This is added in explanation of ταῦτα καὶ ἀντιποιεῖν preced., consequently it is not joined by any connecting particle with what goes before.

Ὁ τῇ ἀληθείᾳ τῆς ἀρετ. ἐπιμ.] A form particularly expressive of indignation and sarcasm; see Matthiæ Gr. s. 276. V. Cousin; *Toi qui as réellement consacré ta vie à l'étude de la vertu.*

Ἐν μείζονι μοίρᾳ.] *Quod pluris æstimatur: quod in majore pretio et honore est.* Fisch. Cf. Herodot. iii. p. 99. 25. Steph. Αὐτὸν ἐν οὐδεμίῃ μεγάλῃ μοίρῃ ἡγον. Hom. Il. ί, 818. ἴσῃ μοῖρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζοι.

παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον· ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχι ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτὴν τὸ δίκαιον πέφυκε· βιάζεσθαι δ' οὐχ ὅσιόν οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα. Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

ΚΡ. Ἔμοιγε δοκεῖ.

§. 13. ΣΩ. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τ' ἦμεν καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις; ὅμως προαχορεύομεν τῷ

προαγορευω

Θωπεύειν.] *Blande palpari, verbis blandis precari*, FISCH., *to conciliate, to caress.* Θώψ, *adulator, palpo*, whence Theætet. p. 128. E. θῶπας λόγους, *wheedling or flattering discourses.* V. Wesseling. ad Herodot. iii. 80. Both these terms have a common origin with θαυμάζω, Ion. θωμάζω, the former through θάπω, Ion. θήπω, from θεάομαι, *to wonder, to admire*; thus θώψ, *one who affects admiration*; Th. θάομαι, act. θάω, obsol.

Καὶ ἢ πείθειν, ἢ ποιεῖν.] *Aut persuadendo contendere te oportere.* WOLF. πείθειν, *placare oratione, ita ut doceas quomodo res habeat; meliora docere.* STALL.

Εἰς πόλ. ἄγῃ τρωθησόμενον.] Steph. in marg. *ad bellum ubi vulnera sis accepturus.*

Ἢ πείθειν αὐτὴν ᾗ τὸ δίκ. πέφ.] *Plane docere eam, quomodo justum sese natura habeat*, i. e. *plane docere naturam justi.* FISCH. The infin. πείθειν is used as if the verbal ποιητέον preced. had been resolved into ποιεῖν δεῖ. Matthiæ Gr. s. 447. 2. Cf. Gorg. p. 492. D. τὰς μὲν ἐπιθυμίας φῂς οὐ κολαστέον, εἰ μέλλει τις οἷον δεῖ εἶναι, ἐῶντα δὲ αὐτὰς ὡς μεγίστας πλήρωσιν ἀλλοθέν γέ ποθεν ἑτοιμάζειν: where Heindorf, "Supplendum δεῖν, quod latebat in illo κολαστέον."

Ἧττον τὴν πατρίδα.] Cic. ad Famil. i. ep. ix. 44. "Id enim jubet idem ille Plato, quem ego vehementer auctorem sequor: Tantum contendere in republica quantum probare tuis civibus possis: vim neque parenti neque patriæ afferre oportere."

ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅπου ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἀλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅποι ἂν βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τρίχῃ φαμὲν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ

§. 13. Τῷ ἐξουσίαν πεποιηκέναι.] i. e. *Nevertheless we proclaim, in having granted the indulgence to any of the Athenians who may desire to use it as soon as he has arrived at the years of discretion and become acquainted with the business of the state, and us, the laws, that it is lawful for him, having collected his effects, to depart whithersoever he pleases.*—Δοκιμασθῇ, *postquam sui juris factus est, et res publicas cognovit.*—STALL. i. e. The age at which one became competent to decide upon such matters as affected the republic. Allusion is made here to the δοκιμασία εἰς ἄνδρας. For the names of those who wished to enjoy the full privileges of an Athenian citizen, and to participate in those honours to which they became entitled by their freedom, were obliged to be enrolled, in the first instance, in the κοινὸν γραμματεῖον, or register of their particular φρατρία, or ward, with an oath on the part of the parents, that every son so registered was lawfully born, or lawfully adopted. At what age children were thus enrolled does not appear; some suppose at one, others, at three or four years old. The second enrolment was at the age of eighteen, when young persons were admitted into the number of the ephebi. The third, before the festival of the Panathenæa, when those who were twenty years old were introduced at a public meeting of the δημόται, and entered in the register called ληξιαρχικὸν γραμματεῖον, in which were inserted the names of all persons of that borough, who were of age to succeed to the ληξις, or inheritance of their fathers. This was called εἰς ἄνδρας ἐγγράφεσθαι, or δοκιμ. εἰς ἄνδ. as supr. The persons so enrolled were thenceforward at their own disposal, and not subject to the control of guardians. Cf. Æschin. adv. Timarch. p. 26. ed. Bremi. ἐπειδὰν δὲ ἐγγραφῇ τις εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, καὶ τοὺς νόμους εἰδῇ τοὺς τῆς πόλεως, καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μή, οὐκ ἔτι ἑτέρῳ διαλέγεται (ὁ νομοθέτης.) v. Demosth. in Midiam. c. 43. Ulp. Boeckh, de Epheb. Attic. in lib.—Τῷ βουλομένῳ—λαβόντα, Cf. Sophocl. Electra, 470. Brunck. ὕπεστί μοι θράσος, ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων. Lysias Epitaph. p. 28. ἄξιον γὰρ πᾶσιν ἀνθρώποις—ὑμνοῦντας.

Εἰς ἀποικίαν ἰέναι.] i. e. To emigrate into a Grecian, and that an Athenian colony; μετοικεῖν,—into a foreign country, Grecian or barbarian; παραμένειν, to continue to abide at Athens. FISCH.

Ὡμολ. ἔργω.] *Has virtually agreed.*

ὅτι ὁμολογήσας ἢ μὴν πείθεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμας, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιτασσόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων ὁμεῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

§. 14. Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἰ περ ποιήσεις ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα. Εἰ οὖν ἐγὼ εἶποιμι διὰ τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολόγηκως τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαίεν γὰρ ἂν ὅτι Ὦ Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήρια ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε, καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς

Ὁμολογήσας — πείθεσθαι.] Cf. c. 14. infr. ὡμολόγεις — πολιτεύεσθαι. n.

Οὔτε πείθει ἡμᾶς.] Intell. *that we are acting unjustly*, implied in εἰ μὴ καλῶς τι ποιοῦμεν, seq.—Προτιθέντων ἡμῶν, &c. h. e. *Quum nos et potestatem faciamus eorum, quæ publice jubentur cognoscendorum atque indicandorum, neque immani severitate quemquam cogamus, ut faciat quæ fieri velimus, imo vero concedamus, ut aut doceat meliora, aut, si hoc non potuerit, nobis pareat, tamen iste neutrum horum facit.* STALL. The laws are said here προτιθέναι, in allusion to the proposing of a law in public, written upon a white tablet, and suspended at the statues of the ἐπώνυμοι, for due consideration, and subsequent approval or rejection on the part of the people, upon the former of which it became either a νόμος, a general and perpetual law, or a ψήφισμα, which was limited to particular places and times, but the obligation of both was the same.

Τούτων οὐδέτερα ποιεῖ.] Ficinus appears to have read ποιεῖς; but the text is correct. BUTTM.

§. 14. Ἐνέξεσθαι.] *Would become liable:* whence ἔνοχος, *reus; obnoxious.*—Ἐπινοεῖς,—ἐπινοεῖν and ἐπίνοια, are generally taken in a bad sense as expressive of evil or mischievous contrivance.

Ἐν τοῖς μάλιστα.] Intell. ἐνεχομένοις. See Matthiæ Gr. 290. 3.

Καθάπτοιντο.] Καθάπτεσθαι, Hesych. interpr. λοιδορεῖσθαι, ὀνειδίζειν, πραΰνειν. Homer uses it in this sense, as also in the opposite one, *to soothe, to pacify*. Cf. Iliad. ά, 582. Odys. β', 39. 240. κ', 70. Plato uses it as supr. in conformity with the delicacy of the Attic writers, who generally adopted such equivocal terms as might temper their severity in rebuke with the mildness they should have otherwise implied.

Ἐπὶ θεωρίαν.] Ἐπὶ is often put after verbs of motion with substantives which do not denote a place, but an action which is the end of one's going, &c. as Herod. i. 37. ἰέναι ἐπὶ θήραν, and supr. Matthiæ Gr. 586. c. Θεωρία means here the Olympic, Nemean, Isthmian, and Pythian games, for which see Robinson's Grec. Antiq. book iii. c. 21. 22. 23. 24.

πόλεως ἐξῆλθες, [ὅ τι μὴ ἅπαξ] εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος, οὔτε ἄλλην ἐπιδημίαν, ἀποδημίαν) πώποτε ὡς περ οἱ ἄλλοι ἄνθρωποι, οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι, ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἠροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύεσθαι τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅ περ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. σὺ δὲ τότε μὲν ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε, ἀλλ' ἠροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνει οὔτε ἡμῶν τῶν νόμων ἐπιτρέπει ἐπιχειρῶν διαφθεῖραι, πράττεις τε ἃ περ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. πρῶτον μὲν οὖν ἡμῖν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φάσκοντές σε ὡμολογηκέναι πολιτεύεσθαι καθ' ἡμᾶς ἔργῳ ἀλλ' οὐ λόγῳ, ἢ οὐκ ἀληθῆ. Τί

"Ο τι μὴ ἅπαξ.] *Except once.* See Matthiæ Gr. 624. 3. *b.* Seag. Viger. c. viii. 10. 5.

Εἰ μή ποι στρατευσόμενος.] See Apol. Socr. c. 17. init.

Οὐδ' ἄλλων—εἰδέναι.] h. e. ὥστε εἰδέναι αὐτούς. See Matthiæ Gr. 630. h.

Ὡμολόγεις — πολιτεύεσθαι.] Stallbaum meets the corrections proposed by Stephens, here, πολιτεύσεσθαι, infr. ξυνέθου πολιτεύσεσθαι, and ὡμολογηκέναι πολιτεύσεσθαι, as c. 13. extr. ὁμολογήσας — πείσεσθαι, the futures for the present, by supposing the case of a citizen who was binding himself, by an oath, to conform to the laws of his state, and contrasting the effect of the two constructions, in either of which he might acknowledge his submission: ἢ μὴν ὁμολογῶ κατὰ τούς νόμους πολιτεύσεσθαι; or ἢ μὴν ὁμολ. κατὰ τοὺς νόμ. πολιτεύεσθαι; the latter of which he justly prefers as the more emphatic; the restraint of the law being felt simultaneously with the consent to abide by it. There remains no difficulty then in applying a rule which so holds good in the *oratio recta* to the *oratio obliqua*, as in the text supr. and similar passages.

Ἐξῆν σοι φυγῆς τιμῆσ.] See Apol. Socr. c. 25.

Ἐκαλλωπίζου.] Properly, *to beautify* or *embellish*; thence *to assume airs of pride or affectation, to vaunt one's self.* For τεθνάναι, which is present in sense, but past in form, see Apol. Socr. c. 17. extr.

"Α περ.] Euseb. ὅ περ, adopted also by Ficinus; v. Lat. Interpr.

Ξυνέθου.] *You covenanted.*

φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Ἄλλο τι οὖν, ἂν φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας οὐδὲ ἀπατηθεὶς οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν ἡμεῖς μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν βαρβαρικῶν, ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφέροντος τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δῆλον ὅτι· τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμενεῖς τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσει ἐκ τῆς πόλεως ἐξελθών.

§ 15. Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτών τι τούτων τί ἀγαθὸν ἐργάσει σαυτὸν ἢ τοὺς ἐπι-

---

Ἃς δὴ ἑκάστοτε φῂς εὐνομ.] Cf. Alcib. Prim. c. 38. ΣΩΚ. Εἰ δ' αὖ ἐθελήσεις εἰς σωφροσύνην τε καὶ κοσμιότητα ἀποβλέψαι καὶ εὐχέρειαν καὶ εὐκολίαν καὶ μεγαλοφροσύνην καὶ εὐταξίαν καὶ ἀνδρίαν καὶ καρτερίαν καὶ φιλοπονίαν καὶ φιλονεικίαν καὶ φιλοτιμίας τὰς Λακεδαιμονίων, παῖδα ἂν ἡγήσαιο σαυτὸν πᾶσι τοῖς τοιούτοις. In Minos. c. 17. a. med. ΣΩΚ. Οὐκοῦν εἰ ἐγὼ ἀληθῆ λέγω, δοκοῦσι σοι παλαιοτάτοις Κρῆτες οἱ Μίνωος καὶ Ραδάμανθυος πολῖται νόμοις χρῆσθαι; ΕΤ. Φαίνονται. ΣΩΚ. Οὗτοι ἄρα τῶν παλαιῶν ἄριστοι νομοθέται γεγόνασι, νομεῖς τε καὶ ποιμένες ἀνδρῶν, ὡς περ καὶ Ὅμηρος ἔφη ποιμένα λαῶν εἶναι τὸν ἀγαθὸν στρατηγόν.

Οἱ ἄλλοι ἀνάπηροι.] Pollux, ii. 61. Ἀνάπηρος δὲ ἔστιν ὁ πᾶν τὸ σῶμα πεπηρωμένος. Schol. min. ad Iliad. β', 599. Πηρὸς καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος. See Luke, xiv. 13. 21.

Οἱ νόμοι δῆλον ὅτι.] i. e. *So particularly with you beyond the rest of Athenians, did both the state find favour, and ourselves, the laws to wit; for to whom could a state without laws recommend itself?* Buttmann, in explan. δῆλον ὅτι καὶ ἡμεῖς οἱ νόμοι ἠρεσκομέν σοι; whence the effect of τίνι γὰρ ἂν, κ. τ. λ., is considerably increased.— Stephens would reject οἱ νομ. δῆλ. ὅτ. as a gloss; it is plain in the case of either explanation as supr., which are both equally admissible, that much of the spirit and force of the passage depends on the phrase being retained.

Ἐὰν ἡμῖν γε πείθῃ.] The laws answer themselves: *But you will remain* (ἀλλ' ἐμμενεῖς underst.) *if you obey us, Socrates, and will not become contemptible by departing from the state.*

τηδείους τοὺς σαυτοῦ. ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πολεων ἔλθῃς, ἢ Θήβαζε ἢ Μέγαράδε,—εὐνομοῦνται γὰρ ἀμφότεραι—πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ, καὶ ὅσοι περ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι· ὃς τις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξει τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντί ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντήσεις διαλεγόμενος—τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕς περ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος ἢ διφθέραν λαβὼν ἢ

§. 15. Ἢ Θήβαζε ἢ Μέγαράδε.] Cf. in Phædon. c. 47. a med. πάλαι ἂν ταῦτα τὰ νεῦρα καὶ τὰ ὀστᾶ ἢ περὶ Μέγαρα ἢ Βοιωτοὺς ἦν.

Ὑποβλέψονται.] Ὑποβλεπόμενος. Hesych. interp. ὑπονοῶν, ἐχθραίνων: *ὑποβλέπεσθαι, to look upon one with anger or suspicion.* V. Cousin: *tout bon citoyen t'y regarderad' un œil de défiance.*

Τοὺς κοσμιωτάτους.] Κόσμιοι.—Fisch. interp. *qui vitam, mores, studia diligenter dirigunt et componunt ad legum normam; modesti, probi.*

Ἄξιόν σοι ζῆν ἔσται.] Cf. in Phædon. c. 9. extr. ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν.

Ἢ οὕς περ ἐνθάδε.] See Matthiæ Gr. s. 619.

Τὰ νόμιμα καὶ οἱ νόμοι.] *Usages and laws.*

Ἀταξία καὶ ἀκολασία.] Steph. in marg. *maxima licentia est et petulantia.* The luxury, licentiousness, and intemperance of the Thessalians have been recorded by several of the ancient writers. Athenæus. pp. 137. 418. 527. 663. Xen. Mem. i. c. 2. 24. &c.

Σκευήν τέ τινα.] Σκευή, Hesych. Suid. interp. στολή. Phavorin.: Σκευὴ

ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου (τῷ βίῳ) λοιποῦ ὄντος, ὡς τὸ εἰκός, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβάς; οὐδείς σ' ἔρει; ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσει, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ βιώσει πάντας ἀνθρώπους καὶ δουλεύων, τί ποιῶν ἢ ἐνωχούμενος ἐν Θετταλίᾳ, ὥς περ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν. λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δαί; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον θρέψον-

ὀξυτόνως, τὸ ἔνδυμα· ὅθεν καὶ σκευάζομαι τὸ ἐνδύομαι. A robe which enveloped the whole person; whence περιθέμενος and ἐνσκευάζεσθαι infr.

Τὸ σχῆμα.] Σχῆμα, Hesych. interp. ἱματισμός, *habitus et vestitus.*

Ἐτόλμησας οὕτω γλίσχρως, κ. τ. λ.] *Had you the assurance to be so tenaciously desirous of life?*—γλίσχρως ἐπιθυμεῖν ζῆν, *quum quis omnia molitur et machinatur ut vitam servet.* Fisch. Ficinus misinterprets γλίσχρως; Lat. Int.

Εἰ δὲ μή.] *Otherwise:* negative propositions, especially with the Attic writers, being usually followed in the antithesis by a negative condition, as supr. instead of an affirmative. Matthiæ Gr. s. 617. b. Cf. in Phædon. c. 8. sub. fin. δεῖν δὲ οὐδὲν τοιοῦτον προσφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας.

Ὑπερχόμενος.] Ὑπερχέσθαι, properly, *to go under, to creep into;* thence *to insinuate one's self* into the favour of another by abject submission and flattery. So Phavorin. Ὑπέρχομαι· τὸ ὑποκάτω τινὸς ἔρχομαι, καὶ ἀπὸ τούτου κολακεύω. Schol. Aristoph. ad Equit. 269. Οἷον ὑπέρχεται· ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων, καὶ κολακεύει, καὶ καταπραΰνει: Schleiermacher would omit δουλεύων seq. but incorrectly, as it implies either a gradation or a consequence of the quality implied in ὑπερχόμενος preced. Stallbaum explains the passage: *Vives igitur adulator adeoque servus aliorum: quid quæso aliud faciens quam convivans in Thessalia, quasi ad epulum quoddam e patria profectus sis in Thessaliam.*

Ποῦ ἡμῖν ἔσονται.] Cf. Soph. Œd. Tyr. 965. ὦ θεῶν μαντεύματα, ἵν' ἐστέ; Eurip. Supplic. 127, τὸ δ' Ἄργος ὑμῖν ποῦ 'στιν; ἢ 'κόμπει μάτην.

Ἀπολαύσωσιν.] Ἀπολαύειν is, properly, *to enjoy anything*, in a favourable sense; it is in frequent use with the Attic writers in the opposite. Cf. de Legg. p. 910, B. καὶ πᾶσα οὕτως ἡ πόλις ἀπολαύῃ τῶν ἀσεβῶν τρόπον τινὰ δικαίως. Lucian. Dialog. Deor. 10. Sol. τοιαῦτα ἀπολαύσονται τῶν Διὸς ἐρωτῶν. Mercur. Σιώπα, ὦ Ἥλιε, μή τι κακὸν ἀπολαύσῃς τῶν λόγων.

Αὐτοῦ.] At Athens. Αὐτοῦ Hesych. interp. ἐκεῖ, αὐτόθι· ἐπὶ τόπου.—Θρέψονται καὶ παιδεύσονται, have the force of passives here. v. Kuster, Voc.

ται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν; πότερον ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται· ἐὰν δὲ εἰς Ἅιδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται, εἴ πέρ γέ τι ὄφελος αὐτῶν ἐστὶ τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι; οἴεσθαί γε χρή.

§. 16. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται· ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι καὶ ἐκεῖ οἱ ὑπέτεροι ἀδελφοὶ οἱ ἐν Ἅιδου νόμοι οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος. ἀλλὰ μή ὅτῳ πείσῃ Κρίτων ποιεῖν ἃ λέγει μᾶλλον ἢ ἡμεῖς.

§. 17. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι

Med. c. 3. Matthiæ Gr. 496. 8. Steph. in marg. *An hoc quidem non facies, sed, si hic* (Athenis) *ducentur, te superstite, melius educabuntur et instituentur, te cum illis non versante? tui enim necessarii illorum curam gerent.*

Πότερον ἐὰν.] Ficinus appears to have read πότερον δὲ ἐὰν, approved by Fischer, rejected by Buttmann, as impairing the effect of the asyndeton, caused by omitting the adversative particle, as supr.

§. 16. Πρὸ τοῦ δικαίου.] Cf. c. 9. a med. πρὸ τοῦ ἀδικεῖν.

Οὔτε γὰρ ἐνθάδε.] *For neither in this life, &c.* Ταῦτα πράττοντι, sc. pursuing the course proposed by Crito. Ἄμεινον εἶναι; a common form for ἀγαθὸν εἶναι: See Matthiæ Gr. s. 457. p. 757. Cf. in Phædon. 63. extr.; whence by a kind of attraction οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, seq.

Ἀλλὰ νῦν μέν.] Sc; now that he had declined to adopt the counsel of Crito.

Ἀδελφοί.] The Greek writers elegantly applied the terms ἀδελφοὶ and ἀδελφὰ to things which were the same or similar in character and kind.

Τὸ σὸν μέρος.] C. 11. supr. a med.

ἐγὼ δοκῶ ἀκούειν, ὥς περ οἱ κορυβαντιῶντες τῶν ἀλλῶν δοκοῦσιν ἀκούειν, καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ καὶ ποιεῖν μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

§. 17. Κορυβαντιῶντες.] The Corybantes, priests of Cybele, used to disturb, with the clash of cymbals, and especially with flutes, the reason of those who took part in their frantic orgies, and so rendered them insensible to every other impression except the sound of the instruments; whence κορυβαντιᾷν, Tim. Plat. Lex. παρεμμαίνεσθαι καὶ ἐνθουσιαστικῶς κινεῖσθαι. The term was properly applied to those who were troubled with delirium, noises in the ears, and broken rest, for which the most efficient cure was in rocking the patient like a child, and soothing him with music to sleep: so Plat. de Legg. vii. p. 628. D. V. Lucret. ii. 617. "Tympana tenta tonant palmis, et cymbala circum Concava, raucisonaque minantur cornua cantu, et Phrygio stimulat numero cava tibia menteis, Telaque præportant violenti signa furoris, Ingratos animos, atque impia pectora vulgi Conterrere metu quæ possint numine Divæ."

Ἡ ἠχὴ—βομβεῖ.] Cf. Horat. Ep. i. 1. 7. "Est mihi purgatam qui crebro personet aurem." Mœris. ἠχή, Ἀττικῶς· ἦχος, (for which Thom. Mag. ἠχώ) Ἑλληνικῶς.

Ἀλλὰ ἴσθι—μάτην ἐρεῖς.] Cf. Apol. Socr. c. 5. εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ; ibid. c. 17. ταῦτα γὰρ κελεύει εὖ ἴστε.

Καὶ πράττωμεν ταύτῃ.] Under the direction of the Deity Socrates expresses his purpose of adhering to the principle of which Crito is finally induced to approve. The grand point in the dialogue, the moral obligation imposed upon every citizen to submit under all circumstances to the laws of the state, is argued by the philosopher with a zeal and distinctness, which show sufficiently how deeply his thoughts were engaged, and his feelings were interested, upon a subject of such moment to his country and himself.—To his country, because a government could not be supposed to be otherwise than indifferently administered, whose laws it would be possible for one with impunity to evade; and to himself, because there could be no more effective refutation of the falsehoods of his adversaries, than his persisting, on the forfeit of his life, to uphold by the sanction of example, the respect and reverence due to those laws, whose restraint he was said to contemn. Through a long and arduous life, their friend and instructor as the advocate of virtue at home, and their no less competent champion and model of valour in the field, Socrates made the civil and military glory of the Athenians the object of his indefatigable exertions. It was not then to be otherwise expected than that the voice of his country should have been obeyed at the last, and that the existence which had long been devoted to the improvement, and often exposed for the safety of Athens, should have been willingly and obediently resigned when its services had ceased to be felt, and when an implicit submission at the present could not fail to furnish a triumphant and irrefragable proof of the upright sincerity that had ever influenced the past.

ΦΑΙΔΩΝ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΕΧΕΚΡΑΤΗΣ, ΦΑΙΔΩΝ, ΑΠΟΛΛΟΔΩΡΟΣ,
ΣΩΚΡΑΤΗΣ, ΚΕΒΗΣ, ΣΙΜΜΙΑΣ, ΚΡΙΤΩΝ,
Ο ΤΩΝ ΕΝΔΕΚΑ ΥΠΗΡΕΤΗΣ.

ARGUMENT.

THIS dialogue, like the former, was held in the prison in which Socrates was confined. The last hours of his life were devoted to the discussion of the momentous subject, the immortality of the soul; Phædo, with whose name the dialogue is inscribed, is introduced as the historian of the scene and the arguments of the respective actors.

The first part of the dialogue is occupied in establishing the incorruptibility of the intellectual principle, and its total independence of organic decay.

The second contains a review of the popular and mythological creeds, respecting the ultimate condition of the soul when removed from the sphere of its earthly existence, and concludes with a circumstantial account of the philosopher's death.

ΦΑΙΔΩΝ.

§. 1. *Αὐτός, ὦ Φαίδων, παρεγένου Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλου τοῦ ἤκουσας;*

ΦΑΙΔ. *Αὐτός, ὦ Ἐχέκρατες.*

ΕΧ. *Τί οὖν δή ἐστιν ἅττα εἶπεν ὁ ἀνὴρ πρὸ τοῦ θανάτου; καὶ πῶς ἐτελεύτα; ἡδέως γὰρ ἂν ἀκούσαιμι.*

ΦΑΙΔΩΝ.] Entitled also, *Φαίδων, ἢ περὶ ψυχῆς, Ἠθικός*, on the authority of Thrasyllus, Diog. Laert. iii. 58. *Αὐτός ὦ Φαίδων*—Hermogenes, *περὶ μέθ. Δειν.* i. p. 518, remarks upon the singular force of *αὐτός* in the question and reply: *καὶ παρὰ Πλάτωνι.—Αὐτὸς, ὦ Φαίδων, παρεγένου; Αὐτὸς ὦ Ἐχέκρατες.' Ὁ μὲν γὰρ ἤρετο ὡς θαυμάζων καὶ μακαρίζων τὸν παραγενόμενον, ὁ δὲ ἀπεκρίνατο σεμνυνόμενος καὶ μέγα φρονῶν.* WYTTENBACH.

Phædo, of Elis, was a disciple of Socrates; he was nobly descended, but having lost his property in early life, he was sold at Athens as a slave. Socrates, in passing the house where he lived, was struck with his intelligent and ingenuous look, and persuaded one of his friends, Alcibiades or Crito, to redeem him. Thenceforward Phædo applied himself diligently to the study of moral philophy, under Socrates, and adhered to his master, with the most affectionate attachment, to the last. He instituted a school at Elis, after the Socratic model, which was continued by Plistanus, an Elean, and afterwards by Menedemus, of Eretria. — Echecrates, of Phlius, a town of Achaia, in the territory of Sicyon, is supposed to have been the same alluded to by Diogenes Laertius, viii. 46. and Iamblichus, Vit. Pythag. i. 35. Plat. Epist. ix. p. 726. A., as one of the last of the Pythagorean School.

Τὸ *φάρμακον.*] *The hemlock; κώνειον*, Laert. ii. 35. Senec. Ep. 13. "Cicuta magnum Socratem fecit." Ep. 67. "Calix venenatus, qui Socratem transtulit e carcere in cælum." Cf. Persius, iv. 1.—"barbatum hæc crede magistrum Dicere, sorbitio tollit quem dira cicutæ."

Τί *οὖν δή ἐστιν ἅττα.*] Cf. Theæt. c. 10. *τί ποτ' ἐστὶν ἃ διανοούμεθα.* Gorg. c. 136. *σκεπτέον τί τὰ συμβαίνοντα*, and infr. c. 2. *τί ἦν τὰ λεχ-*

καὶ γὰρ, οὔτε τῶν πολιτῶν Φλιασίων οὐδεὶς πάνυ τι ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε, οὔ τέ τις ξένος ἀφῖκται χρόνου συχνοῦ ἐκεῖθεν, ὅς τις ἂν ἡμῖν σαφές τι ἀγγεῖλαι οἷός τ' ἦν περὶ τούτων, πλήν γε δὴ ὅτι φάρμακον πιὼν ἀποθάνοι· τῶν δὲ ἄλλων οὐδὲν εἶχε φράζειν.

ΦΑΙΔ. Οὐδὲ τά περὶ τῆς δίκης ἄρα ἐπύθεσθε ὃν τρόπον ἐγένετο;

ΕΧ. Ναί, ταῦτα μὲν ἡμῖν ἤγγειλέ τις, καὶ ἐθαυμάζομέν γε ὅτι πάλαι γενομένης αὐτῆς πολλῷ ὕστερον φαίνεται ἀποθανών. τί οὖν ἦν τοῦτο, ὦ Φαίδων;

ΦΑΙΔ. Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συνέβη· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης ἡ πρύμνα ἐστεμμένη τοῦ πλοίου ὃ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσιν.

θέντα καὶ πραχθέντα. Τί as predicate, with ἐστί following, is sometimes accompanied by the subject in the neuter plural. Matthiæ Gr. s. 488. 7.

Ἐπιχωριάζει — Ἀθήναζε.] Phædo is supposed to narrate to Echecrates, at Phlius, the circumstances connected with the death of Socrates, of which little was known beyond the event having actually occurred, owing to the infrequent intercourse between the Phliasians and Athenians. See Mitford's Greece, c. xxv. s. 4. p. 408.

Οὐδείς πάνυ τι.] Ἀντὶ τοῦ οὐδαμῶς. ἐστὶ γὰρ τὸ ἐξῆς οὕτως· πάνυ οὐδεὶς ἐπιχωριάζει. Schol. Cod. Bodl.

Ὅστις ἂν ἡμῖν—οἷός τ' ἦν.] Οἷος τ' ᾖ. Edd. Cod. Aug. But the imperfect is correctly used here, both in reference to ἀφῖκται, preced. which is to be taken in a past sense, because of χρόνου συχνοῦ subjoined, and also to εἶχε seq. HEIND. Cf. Aristoph. Lysistr. 109. Οὐκ εἶδον οὐδ' ὀλισβον ὀκτωδάκτυλον, ὃς ἦν ἂν ἡμῖν σκυτίνη πικουρία.—Πλήν . . . ὅτι . . . ἀποθάνοι, *except that he was dead, &c.*

Περὶ τῆς δίκης.] Not περὶ τὴν δίκην, as infr. c. 2. περὶ αὐτὸν τὸν θάνατον, but in the genitive, as Fischer justly observes, on account of ἐπύθεσθε, seq. Cf. Xenoph. Cyrop. V. 3. 26. ὡς—ἐπεὶ πύθοιτο τὰ περὶ τοῦ φρουρίου χαλεπῶς ἐνέγκοι. Anab. ii. 5. 37. ὅπως μάθῃ τὰ περὶ Προξένου. Herod. 2. 102. ἀριθμοῦ δὲ πέρι, μὴ πύθῃ, &c. Matthiæ Gr. s. 589. 5.

Πολλῷ ὕστερον.] Thirty days after; Xenoph. Mem. iv. 8. 2.

Τύχη τις—ἔτυχε γάρ.] An agreeable paronomasia, referring the event to its cause. Cf. Achil. Sat. i. p. 55. (speaking of the Phœnix,) ἔτυχε γὰρ τύχῃ τινὶ συμβὰν τότε τὸν ὄρνιν ἀναπτερῶσαι τὸ κάλλος. Upon the force of συνέβη, which implies a combination of circumstances, Plutarch, having quoted the passage as supr. observes: Ἐν γὰρ τούτοις τὸ ΣΥΝΕΒΗ οὐκ ἀντὶ τοῦ ΓΕΓΟΝΕΝ ἀκουστέον, ἀλλὰ πολὺ μᾶλλον ἐκ συνδρομῆς τινος αἰτιῶν ἀπέβη, ἄλλου πρὸς ἄλλο γεγονότος. Simplic. ad Aristot. Phys. ii. p. 79. B. καὶ Πλάτων δὲ τὸ ἀπὸ τύχης τύχην καλεῖ, λέγων ἐν Φαίδωνι, Τύχη τις αὐτῷ, ὦ Ἐχέκρατες, συνέβη· ἀντὶ τοῦ ἀπὸ τύχης τὶ αὐτῷ συνέβη.—WYTT.

Τῇ προτεραίᾳ.] Thom. Mag. and Phavor. Προτέρα, ἐπὶ τάξεως· προ-

ΕΧ. Τοῦτο δὲ δὴ τί ἐστιν;

ΦΑΙΔ. Τοῦτό ἐστι τὸ πλοῖον, ὥς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν δὴ ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. Ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον καὶ πάλιν δεῦρο· τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς. ἀρχὴ δ' ἐστὶ τῆς

τεραῖα δὲ, ἐπὶ μόνης ἡμέρας. Πλάτων ἐν τῷ Φαίδωνι· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης.

Τοῦτό ἐστι τὸ πλοῖον.] Minos, king of Crete, to avenge the death of his son Androgeos, besieged Athens, and withdrew his forces only on condition that seven virgins, and so many boys [ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας. Plutarch. Thes. p. 6. παρθένους ἑπτὰ καὶ παῖδας ἴσους. Pausan. i. 27. extr.] should be sent every ninth year to Crete, to be devoured by the Minotaur; δὶς ἑπτὰ ἐκ. supr. The third time of paying this tribute, Theseus was included in the number to be so sacrificed, but he succeeded in killing the Minotaur, and preserving himself and his companions. Cf. Virgil Æn. vi. 20. In commemoration of this event, and pursuant to their vow, as supr. τῷ οὖν Ἀπόλλωνι, &c., the Athenians sent every year a solemn deputation, θεωρία, to Delos. The individuals who composed it were called θεωροὶ and δηλιασταὶ, their principal, ἀρχιθέωρος, and the vessel in which they sailed, θεωρὶς or δηλιάς. See Robinson's Grec. Antiq. B. iii. c. 9. and Mitford's Greece, i. c. 1. s. 3. p. 60.

Θεωρίαν ἀπάξειν.] Schol. ad h. l. ἀντι τοῦ θυσίαν ἀπενεγκεῖν. Θεωροὶ δέ εἰσιν οἱ πεμπόμενοι θῦσαι καὶ θεραπεῦσαι τὸν θεόν· ὅθεν καὶ αἱ ὁδοὶ δι' ὧν ἐπορεύοντο, θεωρίδες κίλευθοι ἐκαλοῦντο, καὶ τὰ διδόμενα Θεωρικὰ, καὶ ἡ ναῦς ἡ εἰς Δῆλον πεμπομένη Θεωρὶς, καὶ ὁ ἱερεὺς Θεωρός. There was another Δήλια, a quinquennial festival, held to commemorate the purification of Delos by Pisistratus; for which see Thucyd. iii. 104. See also Potter, Grec. Antiq. i. p. 438.

Ἀεὶ καὶ νῦν ἔτι.] Plutarch. Thes. p. 10. C. τὸ δὲ πλοῖον ἐν ᾧ μετὰ τῶν ἠϊθέων ἐπλευσε καὶ πάλιν ἐσωθη, τὴν τριακόντορον, ἄχρι τῶν Δημητρίου τοῦ Φαληρέως χρόνων διεφύλαττον οἱ Ἀθηναῖοι. The materials of the vessel were hence called ἀειζώοντα, Callim. Hym. in Bell., but, in reality, it had undergone so many repairs and alterations, that it might have been reasonably doubted whether it was the same ship, in consequence of which it afforded the sophists an opportunity for a zealous discussion on the subject of its identity. See a parallel case quoted by Brown, Philos. Lect. xii.

Ἐπειδὰν οὖν ἄρξωνται.] The priest of Apollo decorated the poop of the vessel with garlands of laurel, as a signal for the commencement of the voyage, and the purification of the city.—Ἐν τῷ χρόνῳ τούτῳ, during the celebration of the Δήλια.

Ἄνεμοι ἀπολαβόντες αὐτούς.] Ἀπολαμβάνειν is used sometimes of contrary winds which intercept and de-

θεωρίας ἐπειδὰν ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος στέψῃ τὴν πρύμναν τοῦ πλοίου· τοῦτο δ' ἔτυχεν, ὥς περ λέγω, τῇ προτεραίᾳ τῆς δίκης γεγονός. διὰ ταῦτα καὶ πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου.

§. 2. ΕΧ. Τί δὲ δὴ τὰ περὶ αὐτὸν τὸν θάνατον, ὦ Φαίδων; τί ἦν τὰ λεχθέντα καὶ πραχθέντα, καὶ τίνες οἱ παραγενόμενοι τῶν ἐπιτηδείων τῷ ἀνδρί; ἢ οὐκ εἴων οἱ ἄρχοντες παρεῖναι, ἀλλ' ἔρημος ἐτελεύτα φίλων;

ΦΑΙΔ. Οὐδαμῶς, ἀλλὰ παρῆσάν τινες, καὶ πολλοί γε.

ΕΧ. Ταῦτα δὴ πάντα προθυμήθητι ὡς σαφέστατα ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τίς σοι ἀσχόλια τυγχάνει οὖσα.

ΦΑΙΔ. Ἀλλὰ σχολάζω τε καὶ πειράσομαι ὑμῖν διηγήσασθαι· καὶ γὰρ τὸ μεμνῆσθαι Σωκράτους καὶ αὐτὸν λέγοντα καὶ ἄλλου ἀκούοντα ἔμοιγε ἀεὶ πάντων ἥδιστον.

ΕΧ. Ἀλλὰ μήν, ὦ Φαίδων, καὶ τοὺς ἀκουσομένους γε τοιούτους ἑτέρους ἕξεις. ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα.

tain those at sea. Cf. Herodot. ii. 115. ὅσοι ὑπ' ἀνέμων ἤδη ἀπολαμφθέντες ἤλθον, κ. τ. λ. and Wesseling in loc. Demosth. de Chers. p. 98. δέκα μῆνας ἀπογενομένου τἀνθρώπου καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀπολῃφθέντος, ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε. So the Latins use *deprendere* and *prendere*.—Αὐτούς, sc. τοὺς πλέοντας implied in πλοῖον preced.

Ὥς περ λέγω.] See Apol. Socr. c. 5. sub. fin. ὁ περ λέγω.

Πολὺς χρόνος.] Xen. Memor. iv. 8. 2. Ἀνάγκη μὲν γὰρ ἐγίνετο αὐτῷ, μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι, διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνήσκειν, ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ. Suidas v. Σωκράτης· — ἐδίδετο οὖν ἐπὶ πολὺ, μέχρις ἂν ἡ ἀπὸ Δήλου θεωρὶς ἀφίκηται.

§. 2. Τῶν ἐπιτηδείων.] Mœris. Gl. p. 164. Ἐπιτηδείους, οὐκ ὥσπερ ἐν τοῖς Ὑπομνήμασι [i. e. Scholiis Grammatic.] μόνους τοὺς ἐκ γένους προσήκοντας, ἀλλὰ καὶ τοὺς ἑταίρους, ὡς Πλάτων Φαίδωνι. WYTT.

Οἱ ἄρχοντες.] sc. οἱ ἕνδεκα. Apol. Socr. c. 27. c. 31. Crit. c. 2.

Τινὲς, καὶ πολλοί γε.] *Aderant aliqui, imo vero multi.* STALL. Cf. Apol. Socr. c. 9. Καὶ οὐδενὸς n. Wyttenbach loses the force of καί in explaining the passage *Aderant quidam, et multi adeo.* See Matthiæ Gr. s. 602.

Ὡς σαφέστατα--ἀπαγγεῖλαι.] *Quam diligentissime referre, narrare.* FISCH.

Τοιούτους ἑτέρους ἕξεις.] *Even such have you to listen to you,* i. e. si-

ΦΑΙΔ. Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον παραγενόμενος. οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει· εὐδαίμων γάρ μοι ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα, ὥστ' ἐμοὶ ἐκεῖνον παρίστασθαι μηδ' εἰς Ἅιδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι, ἀλλὰ κἀκεῖσε ἀφικόμενον εὖ πράξειν, εἴ πέρ τις πώποτε καὶ ἄλλος. διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι

milarly affected with yourself; so Heindorf; *At vero etiam qui te audituri sint, similiter affectos habes;* who compares de Repub. vi. p. 498. G. *ἀνδρα ἀρετῇ πάρισωμένον καὶ ὁμοιωμένον μέχρι τοῦ δυνατοῦ τελέως, ἔργῳ τε καὶ λόγῳ δυναστεύοντα ἐν πόλει ἑτέρᾳ τοιαύτῃ, οὐ πώποτε ἑωράκασι.* Lach. p. 200. A. *αὐτὸς ἄρτι ἐφάνης ἀνδρίας πέρι οὐδὲν εἰδώς· ἀλλ' εἰ καὶ ἐγὼ ἕτερος τοιοῦτος φανήσομαι,* &c. Phædr. c. 45. *γεννάδας καὶ πρᾶος τὸ ἦθος, ἑτέρου δὲ τοιούτου ἐρῶν.* Cf. infr. c. 29. a med. *τοιοῦτον τόπον ἕτερον.*

Παρόντα με—εἰσῄει] Εἰσιέναι and εἰσέρχεσθαι, like the Latin *subire*, are used to express the affection of the mind by the passions of hope, joy, sorrow, compassion, &c. Eurip. Med. 931. *εἰσῆλθε μ' οἶκτος.* Iphig. Aul. 491. *μ' ἔλεος εἰσῆλθε.* v. Valckenar. ad Phœniss. 1378. p. 464. sq. This construction is varied infr. *οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσῄει*; verbs compounded with prepositions which never govern a dative, sometimes taking the dative, when they express such a direction to an object, as *εἰσέρχεσθαί τινι.* Matthiæ Gr. a. 402. c.

Τῶν λόγων.] Aug. Int. *τοῦ λόγου*, adopted by Ficinus; but the former is the more correct. Cf. infr. *καὶ γὰρ οἱ λόγοι τοιοῦτοι τινες ἦσαν*, and extr. *τίνες, φῂς, ἦσαν οἱ λόγοι.*

Ὡς ἀδεῶς.] For ὅτι οὕτως ἀδεῶς. Cf. Criton. c. 1. Ὡς ἠδέως. n.—Γενναίως; Xen. Apol. 33. *ἐπεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην—οὐδὲ πρὸς τὸν θάνατον ἐμπλακίσατο, ἀλλ' ἱλαρῶς, καὶ προσεδέχετο αὐτὸν, καὶ ἐπετελέσατο.*—Παρίστασθαι is frequently used by itself, in reference to the thoughts which arise from present circumstances. Hemsterhuis. ad Lucian. Contempl. c. 13. Taylor. ad Lysiam ed. Reiske, p. 83. It is found, too, with δόξα or τοῦτο, as Lys. in Eratosth. p. 424. *καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς—Θηραμένους κατηγορῶ*; and without any such addition as in the text, and Thucyd. vi. 68. *καὶ παραστήτω παντὶ, τὸ μὲν καταφρονεῖν,* &c.

Εἰς Ἅιδου.] See infr. c. 29. a med. *εἰς Ἅιδου ὡς ἀληθῶς.* Socrates, in Cratyl. cc. 44. 45. p. 45. 46., argues against the common acceptation of Ἅιδης, and its attendant prejudices. ΣΩΚ. *Καὶ τό γε ὄνομα ὁ Ἅιδης, ὦ Ἑρμόγενες, πολλοῦ δεῖ ἀπὸ τοῦ ἀειδοῦς ἐπωνομάσθαι· ἀλλὰ πολὺ μᾶλλον ἀπὸ τοῦ πάντα τὰ καλὰ εἰδέναι, ἀπὸ τούτου ὑπὸ τοῦ νομοθέτου Ἅιδης ἐκλήθη—οὕτω καλούς τινας, ὡς ἔοικεν, ἐπίσταται λόγους λέγειν ὁ Ἅιδης, καὶ ἔστιν ὥς γε ἐκ τοῦ λόγου τούτου ὁ θεὸς οὗτος τέλεος σοφιστής τε καὶ μίγας εὐεργέτης τῶν παρ' αὐτῷ, ὅς γε καὶ τοῖς ἐνθάδε τοσαῦτα ἀγαθὰ ἀνίησιν· οὕτω πολλὰ αὐτῷ τὰ περιόντα ἐκεῖ ἐστί, καὶ τὸν Πλούτωνα ἀπὸ τούτου ἔσχε τὸ ὄνομα*: whence he infers that the manes of the just should be unwilling to return again to earth. Opposed to this ᾅδης φωτεινὸς, or habitation of the good, after death, was the ᾅδης σκοτεινὸς or ζωφερὸς, the abode of the impious. Orpheus is said to have introduced this figment first, from Egypt into Greece. See infr. c. 13. sub. fin. *εἰσὶ γὰρ δή φ. οἱ π. τ. τ.*

Ἄνευ θείας μοίρας.] *Sine consilio et voluntate deorum qui ei consulerent.* Stall., because of ἀλλὰ κἀκεῖσε ἀφ. εὖ πράξειν seq. Cf. Plutarch. ii. p. 499. B. *ἀποθνήσκοντα δὲ αὐτὸν*

ἐλεεινὸν εἰσῄει, ὡς εἰκὸς ἂν δόξειεν εἶναι παρόντι πένθει· οὔτε αὖ ἡδονὴ ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων, ὥς περ εἰώθειμεν· καὶ γὰρ οἱ λόγοι τοιοῦτοί τινες ἦσαν· ἀλλ' ἀτεχνῶς ἄτοπόν τί μοι πάθος παρῆν καί τις ἀήθης κρᾶσις ἀπό τε τῆς ἡδονῆς συγκεκραμένη ὁμοῦ καὶ τῆς λύπης, ἐνθυμουμένῳ ὅτι αὐτίκα ἐκεῖνος ἔμελλε τελευτᾷν. καὶ πάντες οἱ παρόντες σχεδόν τι οὕτω διεκείμεθα, ὁτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες, εἷς δὲ ἡμῶν καὶ διαφερόντως, Ἀπολλόδωρος· οἶσθα γάρ που τὸν ἄνδρα καὶ τὸν τρόπον αὐτοῦ.

ΕΧ. Πῶς γὰρ οὔ;

ΦΑΙΔ. Ἐκεῖνός τε τοίνυν παντάπασιν οὕτως εἶχε, καὶ αὐτὸς ἔγωγε ἐτεταράγμην καὶ οἱ ἄλλοι.

ΕΧ. Ἔτυχον δέ, ὦ Φαίδων τίνες, παραγενόμενοι;

[Σωκράτην] ἐμακαρίζον οἱ ζῶντες, ὡς οὐδ' ἐν ᾅδου θείας ἄνευ μοίρας ἰσόμενον.

Παρόντι πένθει.] *To one present at a sorrowful scene:* παρόντι depending on εἰκὸς and governing πένθει, in the dat. Heindorf. understands μοι to παρόντι, but this would require τῷ πένθει. The application of the passage is general; the composure of Socrates was such, that Phædo felt none of that commiseration which it was natural for any one to indulge who was witness to any similar affliction.

Ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων.] i. e. *As when we were engaged in our philosophical studies.*—ἐν φιλοσοφίᾳ εἶναι, *in philosophia versari, eadem occupari, quærere de locis philosophicis.* KORNER. Cf. Sophocl. Œd. Tyr. 570. τότ' οὖν ὁ μάντις ἦν ἐν τῇ τέχνῃ; Xenoph. Cyrop. iv. 3. 23. οἱ μὲν δὴ ἐν τούτοις τοῖς λόγοις ἦσαν. Maxim. Tyr. p. 396. i. ed. Lips. τοὺς δὲ ἐν φιλοσοφίᾳ, καὶ πανυ ἀν τις μίμψαιτο.—STALL.

Τοιοῦτοι τινες.] i. e. Partaking of the character of their previous and customary discussions.

Ἄτοπον.] See in Crit. c. 2. extr.

Κρᾶσις ἀπό τε τῆς ἡδ.] See infr. c. 3. Ὡς ἄτοπον. Cf. Liban. Epist. lxiii. κρᾶσις ἔχει μί τις ἡδονῆς καὶ τοὐναντίου.

Ὁτὲ μὲν γελ. ἐνίοτε δὲ δακ.] These participles are added in explanation of οὕτω preced. otherwise the construction should be οὕτω διακείμεθα· οτὲ μὲν ἐγελῶμεν, ἐνίοτε δὲ ἐδακρύομεν. [as Lys. p. 779. ὑμεῖς δὲ οὕτω διετίθητε· τοὺς μὲν φεύγοντας κατεδέξασθε, &c.] Compare with the text as supr. Sophocl. Œd. Tyr. 10. τίνι τρόπῳ καθίστατε; Δείσαντες, ἢ στίρξαντες; Xenoph. Anab. iv. 1. 4. τὴν δὲ—ἐμβολὴν ὧδε ποιοῦνται, ἅμα μὲν λαθεῖν πειρώμενοι ἅμα δὲ φθάσαι, &c. HEIND.

Ἀπολλόδωρος.] A zealous and attached friend of Socrates; ἐπιθυμητὴς ἰσχυρῶς αὐτοῦ, Xen. Apolog. c. 28. He was morose in temper, and gloomy in disposition, whence in Sympos. c. 2. ΕΤΑΙ. Ἀεὶ ὅμοιος εἶ, ὦ Ἀπολλόδωρε· ἀεὶ γὰρ σαυτόν τε κακηγορεῖς καὶ τοὺς ἄλλους, καὶ δοκεῖς μοι ἀτεχνῶς πάντας ἀθλίους ἡγεῖσθαι πλὴν Σωκράτους, ἀπὸ σαυτοῦ ἀρξάμενος. καὶ ὁπόθεν ποτὲ ταύτην τὴν ἐπωνυμίαν ἔλαβες τὸ μανικὸς [*nimius in laudando.* AST.] καλεῖσθαι, οὐκ οἶδα ἔγωγε· ἐν μὲν γὰρ τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ· σαυτῷ τε καὶ τοῖς ἄλλοις ἀγριαίνεις πλὴν Σωκράτους—and possessed of but little strength of mind: see infr. c. 66. a med. Ælian, V. H. i. 16. mentions, as an instance of his

ΦΑΙΔ. *Οὗτός τε δὴ ὁ Ἀπολλόδωρος τῶν ἐπιχωρίων παρῆν καὶ Κριτόβουλος καὶ ὁ πατὴρ αὐτοῦ Κρίτων, καὶ ἔτι Ἑρμογένης καὶ Ἐπιγένης καὶ Αἰσχίνης καὶ Ἀντισθένης. ἦν δὲ καὶ Κτήσιππος ὁ Παιανιεὺς καὶ Μενέξενος καὶ ἄλλοι τινὲς τῶν ἐπιχωρίων· Πλάτων δέ, οἶμαι, ἠσθένει.*

simplicity, his having brought with him into the prison a tunic and splendid cloak, in which Socrates was to be dressed before his death.

Καὶ Κριτόβουλος.] Crito, who gave name to the preceding dialogue, had four sons, Critobulus, Hermogenes, Epigenes, and Ctesippus. Laert. ii. 121. But the Hermogenes mentioned supr. appears to have been the son of Hipponicus, and brother of Callias. Cratyl. c. 2. ΣΩ. Ὦ παῖ Ἱππονίκου, Ἑρμόγενες, &c. and Epigenes to have been the same as in Apolog. Socr. c. 22. a med. the son of Antiphon. Of Æschines, Diog. Laertius writes, iii. 37. Αὐτοῦ δὲ (Αἰσχίνου) Πλάτων οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων μνήμην πεποίηται, ὅτι μὴ ἐν τῷ περὶ ψυχῆς, καὶ Ἀπολογίᾳ. c. 22. He had lived in great poverty for many years at Athens, as an attached disciple and friend of Socrates, when he resolved to visit the court of Dionysius, who was, or affected to be, a patron of philosophers. He was introduced by Aristippus, and liberally rewarded for his Socratic dialogues.—He remained in Sicily until the expulsion of the tyrant, and then returned to Athens, where he gave instructions in philosophy, for payment, in private, as he could not publicly compete with Plato or Aristippus. He then, to enlarge his means, took up oratory, and appeared as the rival of Demosthenes. Antisthenes was born at Athens, about the ninetieth Olympiad, and served, in his youth, with considerable distinction, particularly at the battle of Tanagra. He first directed his attention to rhetoric, in which he was instructed by the sophist Gorgias; but abandoned a pursuit so unsatisfactory, for the more important study of moral and intellectual philosophy. He became a disciple of Socrates, and, in imitation of his master, sacrificed everything to the attainment of virtue. After the death of Socrates, while Plato and the rest of his disciples were forming schools, Antisthenes selected for his a place of public exercise without the city, near the Lyceum, called Κυνόσαργες, the temple of the white or swift dog; which, when Diomus was sacrificing to Hercules, seized upon part of the victim, whence the name of the place. Some writers derive from hence the name of the sect Κυνικοὶ, which Antisthenes founded here, others, and the more numerous, ascribe their title to the surname of their master, Κύων, which he obtained in consequence of the harshness and severity of his censures upon the manners of the age.—Ctesippus; Euthydem. c. 5. νεανίσκος τις Παιανιεύς, μάλα καλός τε κἀγαθὸς τὴν φύσιν ὅσον μέν, ὑβριστὴς δὲ διὰ τὸ νέος εἶναι. Cf. Lysid. p. 206. 207. seq.—Menexenus, son of Demophon, was born of a noble family, and applied himself, early in life, to the study of philosophy. He was a follower of Ctesippus, whence they are mentioned together here, as in Lysid. locc. citt. One of the dialogues of Plato, on the subject of the Athenians who died for their country in battle, is inscribed with his name, Μενέξενος, ἢ Ἐπιτάφιος, ἠθικός.

Πλάτων — ἠσθένει.] Forster conjectures that Plato would have it inferred from hence, that his illness was occasioned by his grief for the impending death of his valued master. Athenæus, having recounted the several arguments in proof of the misunderstanding which was said to have existed between Plato and Xenophon, brings forward, in further confirmation, the passage in the text, where the name of the latter is omitted in the enumeration of those who had assembled to pay the last tribute of affection and respect to their venerable instructor and friend;

ΕΧ. *Ξένοι δέ τινες παρῆσαν;*

ΦΑΙΔ. *Ναί, Σιμμίας τέ γε ὁ Θηβαῖος καὶ Κέβης καὶ Φαιδώνδης, καὶ Μεγαρόθεν Εὐκλείδης τε καὶ Τερψίων.*

ΕΧ. *Τί δαί; Ἀρίστιππος καὶ Κλεόμβροτος παρεγένοντο;*

l. xi. c. 15. p. 505. *Κἀν τῷ περὶ ψυχῆς ὁ Πλάτων καταλεγόμενος ἕκαστον τῶν παρατυχόντων οὐδὲ κατὰ μικρὸν τοῦ Ξενοφῶντος μέμνηται.* Neither indeed could Plato have made any mention of Xenophon, who had departed into Asia a year before the death of Socrates; *ἐνὶ προτέρῳ ἔτει τῆς Σωκράτους τελευτῆς.* Laert. ii. 55.—Whence it is not likely that it ever occurred to Plato to explain the cause of his absence, and with regard to any jealousy which was reported to have existed between them, Xenophon was too far beneath his cotemporary to have ever been considered in the light of a rival. HEIND. So V. Cousin: "Je ne crois pas inutile de répéter que ce n'est aucunement par envie que Platon ne parle pas ici de Xénophon, ou qu'il ne remarque pas qu'il était absens pour une cause sérieuse. Il ne dit pas que Xénophon etait alors à la guerre, parceque c'etait une chose assez connue de son temps, et qu'il ne pouvait soupçonner qu'on lui ferait, cinq siècles plus tard (Athénée, liv. xi. 15), l'accusation de jalousie contre Xénophon. Heindorf est le premier qui se soit élevé contre la pretendue inimitié de ces deux grands hommes. Ils differaient sans doute; mais supposer qu'ils aient écrit pour se décrier, ou pour se distinguer l'un de l'autre, comme on l'a dit souvent, c'est une puérilité dont il n'existe aucune preuve."

Σιμμίας τέ—καὶ Κέβης.] Disciples of Philolaus, infr. c. 5. a med. a native of Crotona, who lived subsequently in Heraclea. He was a disciple of Archytas, a Pythagorean philosopher of Tarentum, and cotemporary with Plato, to whom he sold the written records of the Pythagorean system, contrary to the express oath of the society, that they would keep secret the mysteries of their sect. It is probable that among these books were the writings of Timæus, the Locrian, one of the Italic school, upon which Plato formed the dialogue which bears his name. Philolaus having interfered in civil affairs, fell a sacrifice subsequently to political jealousy. Enfield, Philosophy, B. ii. c. 12. s. 2. Phædondes, also a Theban v. Rhunk. ad Xenoph. Mem. i. 2. 48.—Euclides of Megara, founder of the Megaric sect, called the Eristic, from its contentious character, devoted himself to the study of philosophy in early life, and removed from Megara to Athens, for the purpose of joining the disciples of Socrates. He displeased Socrates by engaging in forensic disputes, to which he was led by an immoderate passion for controversy, and returned to Megara, where he became the head of a school, in which his chief occupation was to teach the art of disputation. He is not to be confounded with the mathematician, who flourished at a later period under Ptolemy Lagus, and died in the 123rd Olympiad. Enf. Phil. ii. c. 6. Of Terpsion nothing is known, further than that he is one of the speakers in Plato's dialogue, entitled Theætetus. Aristippus was the well-known founder of the Cyrenaic sect, which was so called from his native city, Cyrene, in Africa. It is not clear whether Cleombrotus, mentioned supr., was the native of Ambracia, of the same name, who furnished the subject for the celebrated epigram of Callimachus, to the effect that Cleombrotus of Ambracia, having paid his last respects to the sun, threw himself headlong from the top of a tower, not that he had done anything worthy of death, but had only read Plato's treatise on the immortality of the soul, and courted, by self-destruction, the death which he felt convinced to be the passage to a happier life. Callim. Epigr. xxiv. Tuscul. i. 34. Some suppose that he was not the one alluded

ΦΑΙΔ. Οὐ δῆτα· ἐν Αἰγίνῃ γὰρ ἐλέγοντο εἶναι.

ΕΧ. Ἄλλος δέ τις παρῆν;

ΦΑΙΔ. Σχηδόν τι οἶμαι τούτους παραγενέσθαι.

ΕΧ. Τί οὖν δή; τίνες, φῆς, ἦσαν οἱ λόγοι;

§. 3. ΦΑΙΔ. Ἐγώ σοι ἐξ ἀρχῆς πάντα πειράσομαι διηγήσασθαι. ἀεὶ γὰρ δὴ καὶ τὰς πρόσθεν ἡμέρας εἰώθειμεν φοιτᾷν καὶ ἐγὼ καὶ οἱ ἄλλοι παρὰ τὸν Σωκράτη, συλλεγόμενοι ἕωθεν εἰς τὸ δικαστήριον ἐν ᾧ καὶ ἡ δίκη ἐγένετο· πλησίον γὰρ ἦν τοῦ δεσμωτηρίου. Περιεμένομεν οὖν ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον, διατρίβοντες μετ' ἀλλήλων· ἀνεῴγνυτο γὰρ οὐ πρῴ. ἐπειδὴ δὲ ἀνοιχθείη, εἰσῄμεν παρὰ τὸν Σωκράτη καὶ τὰ πολλὰ διημερεύομεν μετ' αὐτοῦ. καὶ δὴ καὶ τότε πρωϊαίτερον ξυνελέγημεν. τῇ γὰρ προτεραίᾳ ἡμέρᾳ ἐπειδὴ ἐξήλθομεν ἐκ τοῦ δεσμωτηρίου ἑσπέρας, ἐπυθόμεθα ὅτι τὸ πλοῖον ἐκ Δήλου ἀφιγμένον εἴη· παρηγγειλαμεν οὖν ἀλλήλοις ἥκειν ὡς πρωϊαίτατα εἰς τὸ εἰωθός. καὶ ἥκο-

to in the text, but there is nothing clearly known of any other friend of Socrates of this name.

Ἐν Αἰγίνῃ.] It is conjectured, with great probability, that Plato intends covertly to rebuke Aristippus and Cleombrotus for their neglect of Socrates, in remaining to indulge their luxurious and effeminate pleasures at Ægina, from which they might have sailed with ease to Athens, a distance of but two or three and twenty miles: Diog. Laert. iii. 36. εἶχε δὲ φιλέχθρως ὁ Πλάτων καὶ πρὸς Ἀρίστιππον· ἐν γοῦν τῷ περὶ ψυχῆς διαβάλλων αὐτὸν φησίν, ὅτι οὐ παρεγένετο Σωκράτει τελευτῶντι, αλλ' ἐν Αἰγίνῃ ἦν καὶ σύνεγγυς. Athenæus, xii. p. 544. D. διέτριβεν δ' ὁ Ἀριστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν. Aristippus annoyed Socrates by his passion for dress and extravagant habits, and offended his friends by the freedom of his manners, so much so, that he withdrew from Athens to the island of Ægina, and there met with the celebrated Lais, whom he brought on with him to Corinth. Cf. Horat. Sat. ii. 3. 99. Ep. i. 17. 23.

§. 3. Ἕωθεν.] Suid. and Phavor. i. q. Πρωΐθεν, h. e. *diluculo, prima aurora, sub aurora, ante lucem.* FISCH.

Ἕως ἀνοιχθείη.] If an action has been frequently repeated in times past, ἕως has the opt. without ἄν. Matthiæ Gr. s. 522. 1.

Διατρίβοντες μετ' ἀλλήλων.] i. e. διαλεγόμενοι πρὸς ἡμᾶς αὐτούς, as c. 65. infr. init.—Ἀνεῴγνυτο; the Attic form of the common impf. ἠνοίγετο.—Matthiæ Gr. s. 168. Obs. 1.

Ἐπειδὴ δὲ ἀνοιχθείη.] The optative is put with the particles ἐπεί, ἐπειδή, ὅτε, ὁπότε, when the discourse is concerning a past action, which, however, was not limited to a precise point of time, but was repeated by several persons, or in several places; so supr. περιεμένομεν οὖν ἑκάστοτε, ἕως ἀνοιχθείη τὸ δεσμ .... ἐπειδη. δὲ ἀνοιχ. εἰσῄμεν παρὰ τὸν Σ. Matthiæ Gr. s. 521.

Διημερεύομεν.] Attic. Anon. ap. Villoison. Anec. Græc. p. 80. t. ii. διημερεύει, ἀντὶ τοῦ πᾶσαν τὴν ἡμέραν

μεν, καὶ ἡμῖν ἐξελθὼν ὁ θυρωρός, ὅς περ εἰώθει ὑπακούειν, εἶπε περιμένειν καὶ μὴ πρότερον παριέναι ἕως ἂν αὐτὸς κελεύσῃ· Λύουσι γάρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ. οὐ πολὺν δ' οὖν χρόνον ἐπισχὼν ἦκε καὶ ἐκέλευσεν ἡμᾶς εἰσιέναι. Εἰσελθόντες οὖν κατελαμβάνομεν τὸν μὲν Σωκράτη ἄρτι λελυμένον, τὴν δὲ Ξανθίππην, γιγνώσκεις γάρ, ἔχουσάν τε τὸ παιδίον αὐτοῦ καὶ παρακαθημένην. ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνευφήμησέ τε καὶ τοιαῦτ' ἄττα εἶπεν, οἷα δὴ

περί τι αναλίσκει. Hesych. Διημερεύοντες· πᾶσαν ποιοῦντες τὴν ἡμέραν.

Ὑπακούειν.] *Respondere et aperire.* WYTT. Cf. Crit c. 1.

Περιμένειν.] So the best editions read, instead of ἐπιμένειν, which signifies, *to be patient, to wait the consequence of anything;* but περιμένειν, generally, *to await, in one place, the arrival of some one,* or *to look for the appearance of something.* Whence the more frequent use of the latter in an absolute sense, whereas the former is more commonly joined with ἕως ἄν, and has certain derivatives which περιμένειν could not form. Wolf ad. h. l. Beck. Lectt. Phil. p. 89. supr. περιεμένομεν οὖν. Infr. c. 65. ἡμᾶς δ' ἐκέλευε περιμένειν. Sympos. init. οὐ περιμενεῖς; κἀγὼ ἐπιστὰς περιέμεινα.—STALL.

Λύουσι.] See Crit. c. 1.

Ὅπως ἂν—τελευτήσῃ.] Ὅπως ἂν is used with the conjunctive of the present, when referring to a continued action. Protag. c. 43. σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσι: and with the conjunctive of the aorist in reference to an action which is concluded at once, Plat. Gorg. 167. Τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ αὐτὸ αὐτῶν. HEIND. v. Matthiæ Gr. a. 518.

Οὐ πολὺν—χρόνον ἐπισχών.] i. e. *after no long delay.* For ἐκέλευσεν, many editions read ἐκέλευεν, in consequence of ἦκε imp. preced. but this connexion of the aorist with the imperfect is not unfrequent; Parmenid. p. 127. A. ἀνεγνώρισί τέ με ἐκ τῆς προτέρας ἐπιδημίας καὶ ἠσπάζετο, καὶ—τὸ μὲν πρῶτον ὤκνει, — ἔπειτα μέντοι διηγεῖτο. Phædr. p. 228. B. ἰδὼν μὲν ἰόντα ἤσθη, ὅτι ἓξοι τὸν συγκορυβαντιῶντα, καὶ προάγειν ἐκέλευε. Different tenses may be connected, as supr. when two or more actions are to be considered as distinct in their character and intent. STALL.

Εἰσελθόντες.] Vulg. εἰσιόντες.—HEIND.

Τὴν δὲ Ξανθίππην.] It is highly probable that the failings of Xanthippe have been greatly exaggerated. Socrates, in a dialogue with his son, Lamprocles, Xen. Mem. l. ii., gives her credit for many domestic virtues; nor are these so completely inconsistent with the evidences which she, no doubt, occasionally afforded of an intractable temper. The child, παιδίον, alluded to in the text, must have been either Sophroniscus or Menexenus: infr. c. 65. σμικροί. Apol. Socr. 23. παιδία., for Lamprocles, the eldest son of Socrates, was now grown up; infr. c. 65. μέγας. Apol. Socr. 23. μειράκιον.—Xen. Memor. ii. 2. 1. νεανίσκος. Plato, Xenophon, and Seneca appear to have known of one only of the wives of Socrates, Xanthippe, and nothing of the other, Myrto.—αἱ οἰκεῖαι γυναῖκες, infr. c. 65. referring to his female relations and kinswomen. FISCH.

Ἀνευφήμησε.] *Wept aloud.* Suidas: Ἀνευφήμησεν· ἀντὶ τοῦ ἐθρήνησε· Πλάτων.—Hesychius explains it by ἀνώμωξε; κατ' ἀντίφρασιν, as

εἰώθασιν αἱ γυναῖκες, ὅτι Ὦ Σώκρατες, ὕστατον δὴ σὲ προσεροῦσι νῦν οἱ ἐπιτήδειοι καὶ σὺ τούτους. Καὶ ὁ Σωκράτης βλέψας εἰς τὸν Κρίτωνα, Ὦ Κρίτων, ἔφη, ἀπαγαγέτω τις ταύτην οἴκαδε. Καὶ ἐκείνην μὲν ἀπῆγόν τινες τῶν τοῦ Κρίτωνος βοῶσάν τε καὶ κοπτομένην· ὁ δὲ Σωκράτης ἀνακαθιζόμενος ἐπὶ τὴν κλίνην συνέκαμψέ τε τὸ σκέλος καὶ ἔτριψε τῇ χειρί, καὶ τρίβων ἅμα Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν, τῷ ἅμα μὲν αὐτὼ μὴ ἐθέλειν παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεσθαι ἀεὶ λαμβάνειν καὶ τὸ ἕτερον, ὥς περ ἐκ μιᾶς κορυφῆς συνημμένω δύ ὄντε. Καὶ μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι, ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα, ἐπειδὴ οὐκ ἠδύνατο, ξυνῆψεν εἰς ταὐτὸν αὐτῶν τὰς κορυφάς, καὶ διὰ ταῦτα ᾧ ἂν τὸ ἕτερον παραγένηται, ἐπακολουθεῖ ὕστερον καὶ τὸ ἕτε-

ἀνευφημεῖν and εὐφημεῖν are properly applied to words of auspicious and favorable import; approved by Stallbaum.

Τινες τῶν τοῦ Κρίτωνος.] *Some of Crito's attendants.* The noble and wealthy at Athens never went abroad without a considerable retinue. Cf. Menon. c. 15. ἀλλά μοι προσκάλεσον τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὁντινα βούλει.

Ἀνακαθιζόμενος ἐπὶ τὴν κλίνην.] *Sitting up in the bed.* Socrates having been unfettered early, did not rise until now, when he sat up in the bed; presently, c. 5. infr. καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ τὴν γῆν, κ. τ. λ. Some editions read εἰς τὴν κλίνην, but ἵζεσθαι and καθίζειν εἴς τι, signify properly, *to go and sit down somewhere*, whence the text as supr. is the more correct. HEIND.

Ὡς ἄτοπον—τοῦτο—ἡδύ.] *How strange, my friends, said he, this thing appears to be which men call pleasure, and how wonderfully it is disposed towards that which seems to be its opposite, pain; in that they are not willing both to befal a man at once, but should any pursue and attain the one, he is almost invariably compelled to admit the other, as if, being two, they were connected by one head.* Xenophon, in his retreat of the ten thousand, mentions that the tumult of joy in which the Greeks indulged at the sight of the Euxine, was succeeded, almost immediately, by a passion of tears;—ὡς ἀναμεμικται τὰ πάθη! was the apposite remark to which the circumstance gave rise. Upon τῷ—μὴ ἐθέλειν supr., see Matthiæ Gr. s. 241. Compare with the passage in the text, Antiphon. apud Stob. Serm. vi. p. 78. ἔνθα τὸ ἡδύ ἐστι, πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐκ σφῶν αὐτῶν ἐκπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταις λύπαι καὶ πόνοι.

Πολεμοῦντα.] *Al variance.*

ρον. ὥς περ οὖν καὶ αὐτῷ ἐμοὶ ἔοικεν, ἐπειδὴ ὑπὸ τοῦ δεσμοῦ ἦν ἐν τῷ σκέλει πρότερον τὸ ἀλγεινόν, ἥκειν δὴ φαίνεται ἐπακολουθοῦν τὸ ἡδύ.

§. 4. Ὁ οὖν Κέβης ὑπολαβὼν Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, εὖ γ' ἐποίησας ἀναμνήσας με. περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας, ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον, καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὐηνὸς πρώην, ὅ τί ποτε διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. Εἰ

§. 4. Ὑπολαβὼν.] Cf. Virg. Æn. vi. 723. "*Suscipit* Anchises atque ordine singula pandit." Gottl.

Εὖ γ' ἐποίησας ἀναμνήσας με.] If the participle denotes an action coinciding in time with that of the finite verb, and completed along with it, the partic. is in the same tense, especially with λανθάνειν and φθάνειν. Matthiæ Gr. s. 559. c.

Ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους.] Ἐντείνας, sc. εἰς ἔπος, s. εἰς μέτρον. Heind. *In carminis modum ligans, in versus rediges, Æsopi fabulas.* Wytt. Augustin. de Consens. Evang. i. 12. Opp. t. iii. pt. ii. p. 5. D. "Socrates autem, quem rursus in activa (virtute) qua mores informantur omnes prætulerunt, ita ut testimonio quoque dei sui Apollinis omnium sapientissimam pronuntiatum esse non tacerent, Æsopi fabulas paucalis versibus persecutus est, verba et numeros suos adhibens rebus alterius. Usque adeo nihil scribere voluit; ut hoc se coactum imperio sui dæmonis fecisse dixerit; sicut nobilissimus discipulorum ejus Plato commemorat: in quo tamen opere maluit alienas quam suas exornare sententias." Bentley, in his dissertation on the fables of Æsop, appears to deny that they were extant in the time of Socrates, which, however, is affirmed, with greater probability, by Tyrwhitt, Dissert. de Babr. From which it is not to be concluded that Socrates had a copy in the prison, but merely that he retained some of the fables in his recollection. Diogenes Laertius, ii. 41. mentions the beginning of a fable by Socrates himself: ἐποίησε δὲ καὶ μῦθον Αἰσώπειον οὐ πάνυ ἐπιτετευγμένως, οὗ ἡ ἀρχή. Αἴσωπος ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσι, Μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίᾳ.—Wytt.

Τὸ εἰς τὸν Ἀπόλλω προοίμιον.] *A Pæan*, according to Diog. Laert. ii. 41. καὶ δεθεὶς—καὶ παιᾶνα κατά τινας ἐποίησεν, οὗ ἡ ἀρχή, Δήλι' Ἄπολλον χαῖρε καὶ Ἄρτεμι, παῖδε κλεεινώ.—Dio. Chrys. Or. xli. p. 507. C. Σωκράτης—καὶ παιᾶνα ἐποίησεν εἰς τὸν Ἀπόλλω καὶ τὴν Ἄρτεμιν. Epictet. Dissert. iv. 4. p. 590. καὶ πῶς ἂν ἔτι ἦν Σωκράτης, εἰ ταῦτα ὠδύρετο; πῶς ἂν ἐτι τῇ φυλακῇ παιᾶνας ἐγραφεν.—Προοίμιον seems to be peculiar to hymns in honor of Apollo, whence Thucydides iii. 104. δηλοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν, ἐν τοῖς ἕπεσι τοῖσδε, ἃ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος. Diog. Laert. viii. 57. mentions a προοίμιον εἰς Ἀπόλλωνα by Empedocles. Pausan. x. 8. p. 817. Ἀλκαῖος ἐν προοιμίῳ τῷ ἐς Ἀπόλλωνα. Plutarch, de Musica, p. 1132. D. 1133. *l.* commends the προοιμία, or preludes, of Terpander, where the term is used by itself, without reference to a deity. Wytt.

Ἀτὰρ καὶ.] Frequently answers to καὶ in a collateral proposition in the sense of καὶ-δέ. Matthiæ Gr. s. 621. Εὐηνὸς; See Apol. Socr. c. 4. ἀνὴρ Πάριος.—Ὅ τι ποτὲ διανοηθείς; see Apol. S. 26. ὅ τι μαθὼν.—Ἐποίησας αὐτά; ποιεῖν, *to compose*, is used simply in reference to poets. Apol. Socr. c. 7. Euthyphron. c. 13. λέγω τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν, ὁ ποιήσας, κ. τ. λ.

οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐηνῷ ἀποκρίνασθαι, ὅταν με αὖθις ἔρηται, εὖ οἶδα γὰρ ὅτι ἐρήσεται, εἰπὲ τί χρή με λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα· ᾔδειν γὰρ ὡς οὐ ῥᾴδιον εἴη· ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν. ἦν γὰρ δὴ ἄττα τοιάδε· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον ἐν τῷ παρελθόντι βίῳ, ἄλλοτ' ἐν ἄλλῃ ὄψει φαινόμενον, τὰ αὐτὰ δὲ λέγον, Ὦ Σώκρατες, ἔφη, μουσικὴν ποίει καὶ ἐργάζου. Καὶ ἐγὼ ἔν γε τῷ πρόσθεν χρόνῳ, ὅ περ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν, ὥς περ

Ἀντίτεχνος.] *A rival* or *competitor.* V. Cousin. *Son rival.* The term is emphatic in the text, as *ἀντίτεχνοι* is properly applied to poets who contend upon the stage, with their productions, for a prize. Casaub. ad Athen. vi. 7. p. 413. Ficinus gives two interpretations for the word, the former of which, besides being unnecessary, is incorrect.—Fisch.

Καὶ ἀφοσιούμενος.] *Acquitting my conscience;* Socrates having feared to provoke the anger of the deity by neglecting his will as conveyed through the medium of dreams.

Εἰ ἄρα πολλάκις.] *If so perchance.* Cf. Lach. p. 179. B. *εἰ δ' ἄρα πολλάκις μὴ προσεσχήκατε τὸν νοῦν τῷ τοιουτῳ.* p. 194. B. *εἰ δ' ἀρα πολλάκις αὐτὴ ἡ καρτέρησις ἐστιν ἀνδρία.*

Ἄττα τοιάδε.] Τις is often put with adjectives of quality, quantity, magnitude, especially when these stand alone, without a substantive, or in the predicate. Ἄττα and ἄσσα, particularly, are thus used, which are rarely found by themselves without an adjective.—Matthiæ Gr. s. 487. 4.

Ἄλλοτ' ἐν ἄλλῃ ὄψει.] i. e. *At various times in a varied form, but its burden was the same, &c.*

Μουσικὴν ποίει καὶ ἐργάζου.] *Musicam fac et tracta.* Wytt. *Cultive les Beaux-Arts;* V. Cousin, who subjoins the following just and explanatory note; "Si l' on traduit comme tout le monde, *fais de la musique,* il faut avouer qu'il est bien étrange que Socrate entende par là la philosophié, et, quand il se ravise, et veut prendre le mot dans le sens ordinaire, qu'il ne songe pas encore à la musique, mais à la poésie; au lieu que dans l' interprétation que nous avons préférée, il est natural que, lorsque le songe dit a Socrate : cultive ton esprit, exerce-toi dans les Beaux-Arts, livre-toi à des nobles occupations, Socrate songe d' abord à la philosophie, qu'il regard comme l'occupation la plus noble, et plus spécialement encore à la poésie. Voyez dans *le Criton,* dans *la République,* dans *les Rivaux,* et partout, le contraste de Μουσικὴ et de Γυμναστική, et consultez la note de Locella sur Xenophon d'Ephèse, p. 124. En général Μουσικὴ veut dire occupations distinguées, arts libéraux; dans le détail il se prend pour la philosophie ou pour la poésie à-peu-près également, ou pour la musique proprement dite, mais plus rarement." V. Alcibiad. Prim. cc. 10. 11.

Παρακελεύεσθαί τε καὶ ἐπικελεύειν.] i. e. *Adhortari et insuper hortari, prouti qui currentes ut currant [hortari pergunt.* Wytt. Παρακελεύεσθαι, *hor-*

οἱ τοῖς θέουσι διακελευόμενοι· καὶ ἐμοὶ οὕτω τὸ ἐνύπνιον, ὅ περ ἔπραττον, τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν, ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς, ἐμοῦ δὲ τοῦτο πράττοντος. νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνήσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ ἀλλὰ ποιεῖν· ἀσφα-

tari aliquem, ut aliquid faciat; ἐπικελεύειν, incitare facientem. FISCH. There is a peculiar force in the repetition of the same verb, differently compounded. Cf. Cic. Fin. v. 2. "Te autem hortamur omnes currentem quidem."

Τοῦτο ἐπικελεύειν, μουσικὴν ποιεῖν.] i. q. τοῦτο λέγειν ἐπικελεύον μουσικὴν ποιεῖν. HEIND. A conciseness of expression familiar to Plato.

Ὡς φιλοσοφίας μὲν οὔσης μεγ. μουσ.] i. e. *Since, indeed, philosophy is the highest exercise of the art.* Learning or discipline, in general, *παιδεία*, is frequently designated by the term *μουσική*, of which the origin and use, in its present sense, are developed, with great beauty and clearness, in the following passage in Lachet. p. 118. C. ὅταν—ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου ἢ περί τινος σοφίας, ὡς ἀληθῶς ὄντος ἀνδρὸς καὶ ἀξίου τῶν λόγων ὧν λέγει, χαίρω ὑπερφυῶς, θεώμενος ἅμα τόν τε λέγοντα καὶ τὰ λεγόμενα ὅτι πρέποντα ἀλλήλοις καὶ ἁρμόττοντα ἐστι· καὶ κομιδῇ μοι δοκεῖ μουσικὸς ὁ τοιοῦτος εἶναι ἁρμονίαν καλλίστην ἡρμοσμένος· οὐ λύραν οὐδὲ παιδιᾶς ὄργανα, ἀλλὰ τῷ ὄντι ζῷν ἡρμοσμένος [οὗ] αὐτὸς αὐτοῦ τὸν βίον σύμφωνον τοῖς λόγοις πρὸς τὰ ἔργα ἀτιχνῶς Δωριστὶ ἀλλ' οὐκ Ἰαστί, οἶομαι δὲ οὐδὲ Φρυγιστὶ οὐδὲ Λυδιστί, ἀλλ' ἥπερ μόνη Ἑλληνική ἐστιν ἁρμονία. Cf. Maxim. Tyr. Diss. xxxi. c. 2. Ὥσπερ γὰρ ἐν ταῖς τῶν μελῶν ἁρμονίαις τὸ παραλειφθὲν, κἂν σμικρὸν ᾖ, διαλύει τὸν κόσμον τοῦ μέλους· οὕτω κἂν τῷ τοῦ βίου ἁρμονίᾳ, εἴ περ μὴ ἐκμελὴς ἡμῖν ἔσται, μηδὲ εἰκῇ διαπεραινόμενος, ὁμολογίαν εἶναι δεῖ ἔργου καὶ λόγου.—Gorg. c. 83. καὶ τοι ἔγωγε οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον εἶναι ἀναρμοστεῖν τε καὶ διαφωνεῖν καὶ χορὸν ᾧ χορηγοίην, καὶ πλείστους ἀνθρώπους μὴ ὁμολογεῖν μοι ἀλλ' ἐναντία λέγειν, μᾶλλον ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀσύμφωνον εἶναι καὶ ἐναντία λέγειν. The writings of Plato abound with similar allusions; virtue in general he compares *ἁρμονίᾳ τινὶ καὶ συμφωνίᾳ* de Rep. iv. p. 430. F. And wisdom he calls *τὴν καλλίστην καὶ μεγίστην τῶν συμφωνιῶν*. Legg. iii. p. 689, D. whence Sextus Empir. adv. Mus. p. 353. οἵ τε μέγα δυνηθέντες ἐν φιλοσοφίᾳ, καθάπερ καὶ Πλάτων, τὸν σοφὸν ὅμοιόν φασιν εἶναι τῷ μουσικῷ, τὴν ψυχὴν ἡρμοσμένην ἔχοντα. For this, amongst other things, Plato was evidently indebted to the Italic school. The harmony which Pythagoras asserted to be the necessary result of the systematic movements of the celestial bodies, is in like manner affirmed, by Plato, to proceed from the attuning of the soul to wisdom and virtue, the due regulation and control of the feelings and affections, which are to be kept in unison with the voice of conscience; that no jarring passion may interfere to destroy that perfect concord in the character of the good, which depends upon the due adjustment and direction of their desires and hopes.

Ἡ τοῦ θεοῦ ἑορτή.] Supr. c. 1. *νόμος ἐστὶν—μηδένα ἀποκτιννύναι.*

Δημώδη μουσικήν.] i. e. *Popular poetry*, as opp. to the *μουσική* of the philosophers, which had been always the study of Socrates, and towards which he now required no new impulse from the deity. V. Cousin explains the passage correctly; *Mais depuis ma condamnation et pendant l'intervalle que me laissait la fête de Dieu, je pensai que si par hasard s'etait*

λέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα, πειθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα, οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴ περ μέλλει ποιητὴς εἶναι, ποιεῖν μύθους ἀλλ' οὐ λόγους καὶ αὐτὸς οὐκ ἦν μυθολογικός, διὰ ταῦτα δή, οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοὺς Αἰσώπου, τούτων ἐποίησα οἷς πρώτοις ἐνέτυχον.

§. 5. Ταῦτα οὖν ὦ Κέβης, Εὐηνῷ φράζε, καὶ ἐρρῶσθαι καὶ ἂν σωφρονῇ ἐμὲ διώκειν. ἄπειμι δέ, ὡς

aux beaux-arts dans le sens ordinaire que les songes m'ordonnaient de m'appliquer, il ne fallait pas leur désobéir et qu'il était plus sûr pour moi de ne quitter la vie qu'après avoir satisfait aux dieux, en composant des vers suivant l'avertissement du songe.

Ποιεῖν μύθους ἀλλ' οὐ λόγους.] The fables of Æsop, which were called λόγοι supr. are here, and infr., entitled μύθοι. They are both used indifferently, like other synonyms, by the best writers, and their authors designated either as λογοποιοὶ or μυθοποιοί. But when they are intended to be opposed, as in the text, μύθος is to be understood as the fabulous department of composition in general, λόγος. Theon. et Aphthon. in Progymnasm. μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν, or fiction in writing, as opposed to fact. The moral of the fable, contained in the ἐπιμύθιον, is also frequently called λόγος. Wyttenbach explains the whole passage: "*cogitans, poetam debere, si poeta futurus esset,* [et huic muneri ac nomini satisfacere vellet] *fabulas componere ac non orationes* [id est non vera argumenta] *et me fabularum peritum et artificem non esse; propterea fabularum Æsopi, quæ mihi in promptu* [et memoria] *erant, quosque sciebam, harum eas, in quos primum inciderem, versibus conscripsi.* V. Cousin: *ensuite faisant réflexion qu'un poëte, pour être vraiment poëte, ne doit pas composer des discours en vers, mais inventer des fictions, &c.*—Αὐτὸς οὐκ ἦν, the indic. instead of the opt. which might seem to be required here, because Socrates passes from the *obliqua* to the *oratio recta*, by which the spirit and force of the passage are increased.

Μυθολογικός.] Plutarch, de Aud. Poet. αὐτὸς μὲν (Socrates) ἅτε δὴ γεγονὼς ἀληθείας ἀγωνιστὴς τὸν ἅπαντα βίον, οὐ πιθανὸς ἦν οὐδ' εὐφυὴς ψευδῶν ξημιουργός.

Τούτων ἐποίησα.] h. e. *versibus ligavi, in carminis modos redegi.* Cf. Herodot. ii. c. 53. οὗτοι [Homer and Hesiod] εἰσί οἱ ποιήσαντες θεογονίην Ἕλλησι. i. e. *hi vero sunt, qui deorum generationes Græcis carmine prodiderunt.* V. Wesseling in loc. cit. Pausan. iii. 25. p. 275. ἐποίησαν δὲ Ἑλλήνων τινὲς, ὡς Ἡρακλῆς ἀναγάγοι ταύτῃ τοῦ Ἅιδου τὸν κύνα——. *Græcorum nonnulli versibus prodiderunt, &c.*—WYTT.

§. 5. Εὐηνῷ φράζε.] Epist. Socr. xiv. p. 35. Εὐηνὸν τὸν ποιητὴν παρεκάλει δι' ἡμῶν, εἰ εὖ γινώσκοι, ἵέναι θᾶττον παρ' αὐτὸν, ἐπειδὴ φιλόσοφός ἐστι διὰ τὴν ποίησιν.

Ἐμὲ διώκειν.] Some editions read διώκειν ὡς τάχιστα; rejected by Heindorf, as Socrates is not speaking of a voluntary death, but the θανάτου μελέτη, which he subsequently explains as peculiar to philosophers. Stallbaum admits ὡς τάχιστα, on the grounds that Socrates might recommend Evenus to follow him as soon as possible, without inciting him to self-destruction, which it is evident he did not intend, but merely to advise him against a too strong attachment to the world. This reading would

ἔοικε, τήμερον· κελεύουσι γὰρ Ἀθηναῖοι. Καὶ ὁ Σιμμίας, Οἷον παρακελεύει, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐηνῷ; πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν σοι ἑκὼν εἶναι πείσεται. Τί δαι, ἦ δ' ὅς, οὐ φιλόσοφος Εὐηνός; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν, ἔφη, καὶ Εὐηνὸς καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι γ' ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἀπὸ τῆς κλίνης ἐπὶ τὴν γῆν, καὶ καθεζόμενος οὕτως ἤδη τὰ λοιπὰ διελέγετο.

appear to be further borne out by the Socratic epistle, as supr.—*εἶναι θᾶττον*, &c.

Οἷον *παρακελεύει*] h. e. *οἷόν ἐστι τοῦτο, ὁ παρακ.* By means of the demonstrative pronoun, propositions, the first of which contains the verb *εἰμί*, and the second the relative pronoun, are contracted into one. Matthiæ Gr. s. 472. 4. From this passage, which is so constructed as to be expressive of surprise in the speaker, and the context, it may be concluded that Evenus was not notorious for the soundness of his philosophy in this particular.

Πολλὰ *γὰρ ἤδη ἐντετύχηκα.*] Cf. Lachet. p. 197. D. *ὁ δὲ Δάμων τῷ Προδίκῳ πολλὰ πλησιάζει.* Cratyl. c. 30. *ἔωθεν πολλὰ αὐτῷ συνῆν, καὶ παρεῖχον τὰ ὦτα.*

Σχεδὸν *οὖν ἐξ ὧν.*] Sc. *ἐκ τούτων ὧν*; when the word to which the relative refers is a demonstrative pronoun, the pronoun is generally omitted, and the relative takes its case. Matthiæ Gr. s. 473. *b.* and s. 574.

Ὁπωστιοῦν *σοι.*] Al. *ὁπωστιοῦν ἂν σοι*, upon which see Apol. Socr. c. 17. *ἤδη ἂν ὑμῶν—διαφθαρήσονται.*—Ἑκὼν *εἶναι.* The infinitive *εἶναι*, especially with *ἑκών*, is often redundant in Attic authors. See Apol. Socr. c. 27. init.

Τούτου *τοῦ πράγματος.*] Intell. *φιλοσοφίας.*

Οὐ *μέντοι.*] Ald. Bass. *οὐ μέν.*—Turneb. *οὐ μήν.* Stephens, as supr. *οὐ μέντοι*, correctly. Cf. Olympiod. Schol. Εἰπὼν ὁ Σωκράτης ὅτι εἰ φιλοσοφεῖ ὁ Εὐηνὸς, *ἐθελήσει ἀποθνήσκειν, ἵνα μὴ δόξῃ διὰ τούτων παρεγγυᾶν ἡμῖν τῷ ἑκουσίῳ θανάτῳ, φησὶν, ὅτι οὐ μέντοι ἴσως βιάσεται ἑαυτόν.* Καὶ *τοῦτο ἡ μὲν λέξις δείκνυσι διὰ δύο ἐπιχειρημάτων, ἑνὸς μὲν μυθικοῦ καὶ Ὀρφικοῦ, ἑτέρου δὲ διαλεκτικοῦ καὶ φιλοσόφου. Ἡμεῖς δὲ πρὸ τῆς λέξεως φέρε οἰκείοις ἐπιχειρήμασι τοῦτο αὐτὸ δείξομεν, ὅτι οὐ δεῖ ἐξαγαγεῖν ἑαυτούς.*—Βιάσεται *αὐτόν*, i. e. *ἀποκτενεῖ ἑαυτόν.* infr. c. 6.

Οὐ *γάρ φασι θεμιτὸν εἶναι.*] See Matthiæ Gr. s. 608. 5. *e.* This was a dogma of the Platonic, and prior to this of the Pythagorean school; Cic. de Senec. c. xxi. "vetatque Pythagoras injussu imperatoris, id est, dei, de præsidio et statione vitæ decedere." On the other hand, the Stoics held that it was lawful for a wise man to withdraw from life whenever he judged it expedient; not only because life and death are to be classed with those things which are in their nature indifferent, but because life may be less consistent with virtue than death; and since all duty arises from a conformity to nature, it may happen that one may be so situated, that to remain in life may be more contrary to nature than to depart from it. Enfield's Philos. B. ii. c. 11. s. 1.

Καθῆκε *τὰ σκέλη.*] Schol. *συντονώτερον ἀνέλαβε σχῆμα καὶ σεμνότερον ὡς περὶ προβλήματος σεμνοτέρου μέλλων διαλέγεσθαι.*

Καθεζόμενος *οὕτως, κ.τ.λ.*] i. e. *καθέζετο καὶ οὕτως ἤδη—διελέγετο—and so proceeded with the rest of the discussion.*

Ἤρετο οὖν αὐτόν ὁ Κέβης, Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ' ἂν τῷ ἀποθνήσκοντι τὸν φιλόσοφον ἕπεσθαι; Τί δαί, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες; Οὐδέν γε σαφές, ὦ Σώκρατες. Ἀλλὰ μὴν κἀγὼ ἐξ ἀκοῆς περὶ αὐτῶν λέγω· ἃ μὴν οὖν τυγχάνω ἀκηκοώς, φθόνος οὐδεὶς λέγειν. καὶ γὰρ ἴσως καὶ μάλιστα πρέπει μέλλοντα ἐκεῖσε ἀποδημεῖν διασκοπεῖν

Φιλολάῳ συγγεγονότες.] A. Boeckh, in lib. Philol. des Pythag. Lehren nebst den Bruchstücken seines werkes Berol. 1819. has settled the age of Philolaus to have been nearly from the seventieth to the ninety-fifth Olympiad. Plutarch mentions that he was one of those who escaped from the house which was burned by Gylon, at Crotona, during the life of Pythagoras, but this cannot be correct, as the latter died, according to the chronicon of Eusebius, in the third year of the sixty-eighth Olympiad. It is probable that Philolaus was a hearer of Lysis, who, with Archippus, escaped the conflagration of the Pythagorean school at Crotona, upon which the latter withdrew to his native city, Tarentum, and the former to Thebes, where it is to be supposed that Philolaus met Simmias and Cebes. Cf. Schol. in loc. ἦλθεν οὖν (Philolaus) καὶ εἰς Θήβας τεθνεῶτι τῷ διδασκάλῳ Λύσιδι χοὰς ποιήσασθαι ἐκεῖσε τεθαμμένῳ. This is the most likely account that can be collected from testimonies which are at variance, in some degree, with each other. V. Jamblich. Vit. Pythag. cc. 104. 199. 248. 250. Bentley, Dissert. de Ætate Pythag. p. 49. Plutarch. de Genio Socratis, p. 583. A. Porphyr. Vit. Pythag. s. 54.

Οὐδὲν—σαφές.] Schol. δι' αἰνιγμάτων ἐδίδασκε, καθάπερ ἦν ἔθος τοῖς Πυθαγορείοις. Philolaus treated the doctrine of nature with great subtlety, but at the same time with great obscurity; referring all things existing to mathematical principles. He taught, that reason, improved by mathematical learning, is alone capable of judging concerning the nature of things; that the whole world consists of infinite and finite; that number subsists by itself, and is the chain by which its power sustains the eternal frame of things; that the Monad is not the sole principle of all things, but that the Binary, or Duad, is necessary to furnish materials from which all subsequent numbers may be produced, &c. Hence it appears probable that Philolaus, following Timæus, whose writings he possessed, so far departed from the Pythagorean system as to conceive two independent principles in nature, God and Matter, the Monad and Duad, and that Plato derived from the same source his doctrine on the subject. Enfield, Philos. B. ii. c. 13.

Ἐξ ἀκοῆς.] i. q. Herod. iv. 16. ἀκοῇ τι λέγειν, *from hearsay*. Upon this assertion of Socrates', that he knew nothing of the doctrines of Philolaus, further than by repute, Boeckh, l. c. p. 23. sq. remarks, in discussing the subject; "daher mir denn jene Wendung mit dem Hörensagen bloss eine mit der Platonischen Ironie sehr wohl zusammenstimmende Manier scheint, durch welche die etwas geringschatzige Behandlung des gottlichen Mannes etwas verhüllt werden soll." [It seems, therefore, to me, that that allusion to the hearsay hardly agrees in manner with the usual style of Platonic irony, through which the half-contemptuous expression of the god-like man should be somewhat concealed.] Stall.

Φθόνος οὐδεὶς λέγειν.] *There is no objection to tell.* Viger. c. iii. s. 12 r. 2.

Καὶ γὰρ ἴσως καὶ μάλιστα.] *Etenim vel maxime* [καὶ μάλιστα] *decet illuc profecturum disquirere et fabulari de re-*

τε καὶ μυθολογεῖν περὶ τῆς ἀποδημίας τῆς ἐκεῖ, ποίαν τιν' αὐτὴν οἰόμεθα εἶναι· τί γὰρ ἄν τις καὶ ποιοῖ ἄλλο ἐν τῷ μέχρι ἡλίου δυσμῶν χρόνῳ;

§. 6. Κατὰ τί οὖν δή ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅ περ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διητᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα. Ἀλλὰ προθυμεῖσθαι χρη, ἔφη· τάχα γὰρ ἂν καὶ ἀκούσαις. ἴσως μέντοι θαυμαστόν σοι φανεῖται, εἰ τοῦτο μόνον τῶν ἄλλων

regrinatione, quæ illic est. — WYTT.— *μέλλοντα*, is to be understood indefinitely, of any one. Ἐκεῖσε *ἀποδημεῖν*, i. q. *εἰς Ἅιδου ἀπιέναι.*—Διασκοπεῖν τε *καὶ μυθολογεῖν*: the former of these verbs is used in reference to a philosophical inquiry, the latter, to a speculative consideration of the subject in question.

Μέχρι *ἡλίου δυσμῶν.*] Schol. *ὡς ζήσεσθαι μέλλων μέχρι ἡλίου δυσμῶν· ἐν γὰρ ἡμέρᾳ φονεύειν ἀπείρητο.*— Olympiod. ad. h. l. *νόμος δὲ ἦν παρὰ τοῖς Ἀθηναιοῖς τὸ μηδένα φονεύειν ἐν ἡμέρᾳ.* A similar law prevailed in Sparta, where the punishment of death was not inflicted in public, during the day, but in the night, in a certain part of the prison called δεκάς. Valer. M. iv. 6.

§. 6. Κατὰ *τί, κ. τ. λ.*] The principle laid down here for discussion is, that the period of death should be looked forward to, but not so as to be compassed by self destruction. For men, in this life, stand in the same relation to the gods, as servants to their masters, nor have they any right to leave it, unless the gods themselves discharge them.— Death is, therefore, to be endured with equanimity, because it is the limit which the gods assign to their protection of men here. Socrates then indulges a hope, that after death he might associate with those who, of mankind, had also lived uprightly, but asserts it as his positive belief, that he should enjoy the fellowship of the gods, the best of masters. This argument implies an unfitness in the body to assist the mind in the investigation of virtue and truth, and further, a divine providence exercised in behalf of those who have made this investigation the object of their lives, who are thus ensured its attendant blessings after their bodily decease.—Κατὰ *τί*,—Steph. in marg. *Quam igitur ob causam nefas esse aiunt, sibi mortem consciscere? Ego enim jam pridem illud non solum a Philolao, &c.*

Αὐτὸν *ἑαυτὸν.*] So in Latin, *se ipsum.* Matthiæ Gr. s. 468. 6.

Νῦν *δή.*] Tim. Plat. Lex. Πρὸ ὀλίγου χρόνου: *just now, a little while since.*

Ἴσως *μέντοι θαυμαστόν σοι, κ. τ. λ.*] i. e. *Perhaps it shall, however, appear strange to you, if this alone, of all things, is unexceptionably true,* ἁπλοῦν, [sc. that death is better than life,] *and that never at any time, as is the case with the rest of human affairs, it should occur that at particular times,* ὅτε, *and to particular persons,* οἷς, *death is better than life. But* [seeing that at all times and with all persons, this principle holds good, or, according to V. Cousin, granting that there are particular individuals who prefer death to life,] *it appears strange to you, perhaps, if it is irreverent for those to whom death is preferable, to benefit themselves,* [by self-destruction,] *but that they must await another benefactor.* Cf. Simplic. in Epictet. p. 63. Ὁ δέ γε Πλάτων καὶ ὁ Πλάτωνος Σωκράτης, καὶ ἀγαθὸν αὐτὸν [τὸν θάνατον] εἶναι καὶ κρεῖττονα τῆς μετὰ τοῦ σώματος ζωῆς ἀποφαίνε-

ἁπάντων ἁπλοῦν ἐστὶ καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥς περ καὶ τἆλλα, ἔστιν ὅτε καὶ οἷς βέλτιον τεθνάναι ἢ ζῆν. οἷς δὲ βέλτιον τεθνάναι, θαυμαστὸν ἴσως σοι φαίνεται εἰ τούτοις τοῖς ἀνθρώποις μὴ ὅσιόν ἐστιν αὐτοὺς ἑαυτοὺς εὖ ποιεῖν, ἀλλ' ἄλλον δεῖ περιμένειν εὐεργέτην. Καὶ ὁ Κέβης ἠρέμα ἐπιγελάσας Ἴττω Ζεύς, ἔφη, τῇ αὐτοῦ φωνῇ εἰπών. Καὶ γὰρ ἂν δόξειεν, ἔφη ὁ Σωκράτης, οὕτω γ' εἶναι ἄλογον· οὐ

ται· οὐ τοῖς μὲν, τοῖς δ' οὔ· ἀλλ' ἁπλῶς πᾶσι. For all things else vary in their character and nature, and are good or evil, according to the agents by which they are employed, and the mode in which they are applied, Plat. in Sympos. p. 318. D. *πᾶσα γὰρ πρᾶξις ὧδ' ἔχει· αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη, οὔτε καλή, οὔτε αἰσχρά· οἷον ὁ νῦν ἡμεῖς ποιοῦμεν, ἢ πίνειν, ἢ ᾄδειν, ἢ διαλέγεσθαι, οὐκ ἔστι τούτων αὐτὸ καθ' αὐτὸ καλὸν οὐδέν· ἀλλ' ἐν τῇ πράξει ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη· καλῶς μὲν γὰρ πραττόμενον καὶ ὀρθῶς, καλὸν γίγνεται· μὴ ὀρθῶς δὲ, αἰσχρόν.* But death is, on all occasions, as supr. represented by Plato as an unchangeable good. V. Cousin explains the passage; *Mais il pourra te sembler étonnant qu'il n'en soit pas de ceci comme de tout le reste, et qu'il faille admettre d'une manière absolue que la vie est toujours préférable à la mort, sans aucune distinction de circonstances et des personnes; ou si une telle rigueur parait excessive, et si l'on admet que la mort est quelquefois préférable à la vie, il pourra te sembler étonnant qu'alors même on ne puisse sans impiété se rendre heureux soi-même, et qu'il faille attendre un bienfaiteur étranger.* To which he subjoins the following note: "C'est-à-dire, en rétablissant tous les intermédiaires utiles, et supprimant tous ceux qui ne sont pas rigoureusement nécessaires: ou la vie est toujours préférable à la mort, quelles que soient les circonstances et les personnes, ce qui est bien singulier, les choses humaines n'étant point aussi absolues; ou si l'on admet la plus légère restriction à ce principe, si pour certaines personnes, dans certaines circonstances, la mort est préférable à la vie, alors il est bien étrange qu'à ces personnes, dans ces circonstances, il ne soit pas permis de se procurer elles-mêmes les avantages de la mort, et qu'il leur faille attendre un bienfaiteur étranger. Socrate avait avancé qu'il ne faut pas se tuer. Quoi! jamais! la vie est-elle donc toujours préférable à la mort? ce serait bien absolu et fort extraordinaire; tu n'oserais l'affirmer. Or, si la mort est quelquefois préférable a la vie, comment avancer qu'il n'est jamais permis de se tuer? L'objection devait se présenter à l'esprit de Cébès, et il est naturel que Socrate la lui prête, et aille au devant."

ἀπλοῦν.] *Plane verum et sine controversia.* Scap. Lex. in voc.—*Τυγχάνει,* is sometimes used as supr. without the participle *ὤν* or *ὄν*, Matthiæ Gr. s. 553. *δ.* Obs. 1.—*Καὶ τἆλλα,*—i. e. *καὶ κατὰ τἆλλα.* Schol. *οἷον πλοῦτος, ὄὀξα, ξίφος. ἐπαμφοτερίζει γὰρ καὶ τἆλλα πάντα. θάνατος δὲ μόνως ἀγαθόν ἐστι.*

Ἐπιγελάσας, Ἴττω Ζεύς.] Schol. *Ἐγέλασε, ὅιότι ἐκάλεσε τὸν φονεύοντα ἑαυτὸν εὐεργέτην. τὸ δὲ Ἴττω ἐπιχωριάζοντός ἐστιν ἀντὶ τοῦ ἴστω, τῇ Βοιωτίᾳ διαλέκτῳ· ὃ δείκνυται ὅτι φύσει τὸν Σωκράτην θαυμάζει.* Olympiod.—*καὶ εἰκότως ἐγχωρίᾳ γλώττῃ ἐχρήσατο, ἐνδεικνύμενος τὸ φυσικὸν καὶ ἐγχώριον θαῦμα, ὃ εἶχε πρὸς τὸν Σωκράτην.* Cf. Aristoph. Acharn. 910. *Τὼ δ' ἐμὰ Θείβαθεν, Ἴττω Ζεύς.*—Cebes so expresses his surprise at the nature of Socrates' remark.

Οὕτω γ' εἶναι.] *Sic primo aspectu, re nondum satis expensa.* HEIND. i. q. *ὡς οὕτωσὶ ἀκοῦσαι, if so it be heard,* or *understood.*—*Οὐ μέντοι ἀλλ' ἴσως, sed fortassis: verum fortassis tamen.*—FISCH.

μέντοι ἀλλ' ἴσως ἔχει τινὰ λόγον. ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διϊδεῖν· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελομένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους

Ἐν ἀπορρήτοις.] The secret or esoteric doctrine of the Pythagoreans, of which the former portion of what is stated in the text, *ὡς ἔν τινι φρουρᾷ ἐσμὲν*, belongs to the Orphic school. Cf. Tim. Plat. p. 291. *ἃ γὰρ Ὀρφεὺς δὶ ἀπορρήτων λόγων μυστικῶς παραδέδωκε, πάντα Πυθαγόρας ἐξέμαθεν οργιασθεὶς ἐν Λειβήθροις τοῖς Θρακικοῖς.* Cratyl. c. 38. *Δοκοῦσι μέντοι μοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα [τὸ σῶμα] ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσι. τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται, δεσμωτηρίου εἰκόνα· εἶναι οὖν τῆς ψυχῆς τοῦτο, ὥσπερ αὐτὸ ὀνομάζεται, ἕως ἂν ἐκτισῃ τὰ ὀφειλόμενα, τὸ σῶμα.* Forster, approved by Heindorf, understands by *ἀπορρήτα*, *mysteriorum arcana*, the Orphic mysteries; according to others, the Eleusinian or Bacchic. But Wyttenbach, in h. l., and Boeckh, l. c. p. 179. sqq. explain it correctly as supr. Most of the philosophical sects had their *ἀπορρήτα*, or secret doctrines, Clem. Alexandr. Strom. v. p. 575. A. *οὐ μόνον ἄρα οἱ Πυθαγόρειοι καὶ Πλάτων τὰ πολλὰ ἐπεκρύπτοντο, ἀλλὰ καὶ οἱ Ἐπικούρειοί φασί τινα καὶ παρ' αὐτοῖς ἀπορρήτα εἶναι καὶ μὴ πᾶσιν ἐπιτρέπειν ἐντυγχάνειν τούτοις τοῖς γράμμασιν· ἀλλὰ καὶ οἱ Στωϊκοὶ λέγουσι Ζήνωνι τῷ πρώτῳ γεγράφθαί τινα, ἃ μὴ ῥᾳδίως ἐπιτρέπουσι τοῖς μαθηταῖς ἀναγινώσκειν μὴ οὐκὶ πείραν δεδωκόσι πρότερον εἰ γνησίως φιλοσοφοῖεν· λέγουσι δὲ καὶ οἱ Ἀριστοτέλους τὰ μὲν ἐσωτερικὰ εἶναι τῶν συγγραμμάτων αὐτῶν, τὰ δὲ ἐξωτερικά.*

Ὡς ἔν τινι φρουρᾷ ἐσμὲν, κ. τ. λ.] *That we are in a certain prison, &c.* Cf. Cicer. Somn. Scip. 3. "Nisi Deus is, cujus hoc templum est omne quod conspicio, istis te corporis custodiis liberaverit, huc tibi aditus patere non potest. Quare et tibi—et piis omnibus retinendus est animus in custodia corporis, nec injussu ejus, a quo ille est vobis datus, ex hominum vita migrandum est, ne munus humanum assignatum a Deo defugisse videamini." Tusc. i. 30. "Vetat enim dominans ille in nobis Deus, injussu suo, nos hinc demigrare: cum vero justam causam Deus ipse dederit, ut tum Socrati, nunc Catoni, sæpe multis, næ ille, medius fidius, vir sapiens lætus ex his tenebris in lucem illam excesserit: nec tamen illa vincla carceris ruperit: leges enim vetant: sed tanquam a magistratu, aut ab aliqua potestate legitima, sic a Deo evocatus atque emissus exierit."

Οὐ ῥᾴδιος διϊδεῖν.] The infin. active for the infin. pass. Matthiæ Gr. s. 535. *b.* Obs.—*Οὐ μέντοι ἀλλά, it is no otherwise, but*, i. e. *however*. Id. s. 610. 4.— Ἐπιμελομένους. Mœris.— Ἐπιμέλου, παροξυτόνως, Ἀττικῶς. περισπωμένως, Ἑλληνικῶς. Thom. Mag. Ἐπιμέλομαι κάλλιον ἢ ἐπιμελοῦμαι.

Ἡμᾶς τοὺς ἀνθρώπους — τοῖς θεοῖς εἶναι.] Cf. Legg. x. p. 902. B. *θεῶν γε μὴν κτήματά φαμὲν εἶναι πάντα ὑπόσα θνητὰ ζῶα, ὥσπερ καὶ τὸν οὐρανὸν ὅλον.* Ibid. p. 906. A. *ἡμεῖς δ' αὖ κτήματά θεῶν καὶ δαιμόνων.* Critias. p. 109. B. *κατοικίσαντες οἷον νομῆς κτήματα καὶ ποίμνια καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον.* Upon the indifferent use of *θεὸς* and *θεοὶ*, Wyttenbach observes, that the latter is affirmed of the whole race of deities, under whose care, individually, mankind is placed, each mortal having a deity for his guardian. But the former is affirmed of the one supreme, who has the charge of those deities themselves, no less than of their dependents, as may be collected from the Phædrus, Timæus,

ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι. ἢ σοὶ οὐ δοκεῖ οὕτως: Ἔμοιγ', ἔφη ὁ Κέβης. Οὐκοῦν, ἦ δ' ὅς, καὶ σὺ ἂν τῶν σαυτοῦ κτημάτων εἴ τι αὐτὸ ἑαυτὸ ἀποκτιννύοι μὴ σημήναντός σου ὅτι βούλει αὐτὸ τεθνάναι, χαλεπαίνοις ἂν αὐτῷ, καὶ εἴ τινα ἔχοις τιμωρίαν, τιμωροῖο ἄν; Πάνυ γ', ἔφη. Ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον μὴ πρότερον αὐτὸν ἀποκτιννύναι δεῖν, πρὶν ἂν ἀνάγκην τινὰ ὁ θεὸς ἐπιπέμψῃ, ὥς περ καὶ τὴν νῦν παροῦσαν ἡμῖν.

§. 7. Ἀλλ' εἰκός, ἔφη ὁ Κέβης, τουτό γε φαίνεται. ὃ μέντοι νῦν δὴ ἔλεγες, τὸ τοὺς φιλοσόφους ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν, ἔοικε τοῦτο, ὦ Σώκρατες, ἀτόπῳ, εἴ περ ὃ νῦν δὴ ἐλέγομεν εὐλόγως ἔχει, τὸ θεόν τε εἶναι τὸν ἐπιμελούμενον ἡμῶν καὶ ἡμᾶς ἐκείνου κτήματα εἶναι. τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵ περ ἄριστοί εἰσι τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει λόγον. οὐ γάρ που αὐτός γε ἑαυτοῦ οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενόμενος· ἀλλ' ἀνόητος μὲν ἄνθρωπος

Leges. x., and other of Plato's writings.—Ἓν τῶν κτημάτων τ. θ. a dogma, as Heindorf conjectures, of the Pythagoreans.

Τῶν σαυτοῦ κτημάτων.] *Of your slaves.* Cf. Eurip. Med. 49. Παλαιὸν οἴκων κτῆμα, *O vetus ancilla.*

Μὴ σημήναντός σου.] In like manner, Epictetus expresses it as a reasonable motive for departing from life; θεοῦ σημαίνοντος τὸ ἀνακλητικὸν, *when the deity sounds a retreat.*

Ὅτι βούλει.] Heindorf. would prefer βούλοι' because of the optt. ἀποκτιννύοι, χαλεπαίνοις, &c. but a similar construction occurs in Gorg. c. 45. ὥσπ' εἰ δίοι—διαγωνίζεσθαι—πότερος ἐπαΐει περὶ τῶν χρησιμῶν—λιμῷ ἂν ἀποθανεῖν τὸν ἰατρόν.

Ταύτῃ.] *In this light,* V. Cousin. *Sous ce point de vue.*

Ἀνάγκην τινὰ.] Plato admits necessity as a plea for self-destruction, in two cases, in Legg. ix. p. 873. either when περιωδύνῳ ἀφύκτῳ προσπεσούσῃ τύχῃ ἀναγκασθείς, or αἰσχύνης τινὸς ἀπόρου καὶ ἀβίου μεταλαχὼν, Πρὶν ἂν—ἐπιπέμψῃ. Cf. de Legg. ix. p. 872. E. πρὶν ἂν φόνον φόνῳ—ἢ δράσασα ψυχὴ τίσῃ, Lachet. p. 187. E. πρὶν ἂν ἐμπέσῃ εἰς τὸ διδόναι λόγον. HEIND. Stallbaum would omit ἂν.

§. 7. Ῥᾳδίως ἂν ἐθέλειν ἀποθνήσκειν.] h. e. *lubenter mori velle.* STALL. Ἔοικε τοῦτο—ἀτόπῳ. See Matthiæ Gr. s. 555. Obs. 2.

Οἵ περ—ἐπιστάται, θεοί.] Θεὸς and θεοὶ are frequently used for ὁ θεὸς, οἱ θεοὶ. Schæfer. in Meletem. Crit. p. 4.

Οὐκ ἔχει λόγον.] i. e. *Is quite unreasonable.*

Αὐτός γε ἑαυτοῦ.] This transition from the plural to the singular is very usual with Plato. Cf. Gorg. p. 478. B. C. ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;—Μεγάλου γὰρ κακοῦ ἀπαλλάττεται, κ. τ. λ. Protagor. p. 319. D. &c.

τάχ' ἂν οἰηθείη ταῦτα, φευκτέον εἶναι ἀπὸ τοῦ δεσπότου, καὶ οὐκ ἂν λογίζοιτο ὅτι οὐ δεῖ ἀπό γε τοῦ ἀγαθοῦ φεύγειν ἀλλ' ὅτι μάλιστα παραμένειν, διὸ ἀλογίστως ἂν φεύγοι· ὁ δὲ νοῦν ἔχων ἐπιθυμοῖ που ἂν ἀεὶ εἶναι παρὰ τῷ αὐτοῦ βελτίονι. καί τοι οὕτως, ὦ Σώκρατες, τοὐναντίον εἶναι εἰκὸς ἢ ὃ νῦν δὴ ἐλέγετο· τοὺς μὲν γὰρ φρονίμους ἀγανακτεῖν ἀποθνήσκοντας πρέπει, τοὺς δ' ἄφρονας χαίρειν. Ἀκούσας οὖν ὁ Σωκράτης ἡσθῆναί τέ μοι ἔδοξε τῇ τοῦ Κέβητος πραγματείᾳ, καὶ ἐπιβλέψας εἰς ἡμᾶς Ἀεί τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνερευνᾷ, καὶ οὐ πάνυ εὐθέως ἐθέλει πείθεσθαι ὅ τι ἄν τις εἴπῃ. Καὶ ὁ Σιμμίας Ἀλλὰ μήν, ἔφη, ὦ Σώκρατες, νῦν γε δοκεῖ τί μοι καὶ αὐτῷ λέγειν Κέβης· τί γὰρ ἂν βουλόμενοι ἄνδρες σοφοὶ ὡς ἀληθῶς δεσπότας ἀμείνους αὐτῶν φεύγοιεν καὶ ῥᾳδίως ἀπαλλάττοιντο αὐτῶν; καί μοι δοκεῖ Κέβης εἰς σὲ τείνειν τὸν λόγον, ὅτι οὕτω ῥᾳδίως φέρεις καὶ ἡμᾶς ἀπολείπων καὶ ἄρχοντας ἀγαθούς, ὡς αὐτὸς ὁμολογεῖς, θεούς. Δίκαια, ἔφη, λέ-

Οἰηθείη ταῦτα, φευκτέον, κ. τ. λ.] *Putaret hoc, fugiendum esse a dominis: in hac opinione esset,* WYTT.—ταῦτα is emphatic and demonstrative, as infr. c. 14. σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, κ. τ. λ.

Ἀγανακτεῖν.] Etymol. M. Ἀγανακτεῖν. ἀντὶ τοῦ στένειν, παρὰ Πλάτωνι.

Πραγματείᾳ.] *The ingenuity.* h. l. *operosa et arguta dubitandi,* sc. *disputandi ratio, quæ solet esse subtilior quam verior.* KÖRNER. Olympiod. τὴν πραγματειώδη ἀπορίαν, πραγματείαν ἐκάλεσεν ὁ Πλάτων· ἀνωτέρω δὲ ἡνίκα ὁ Σιμμίας ἠρώτα, ἀπορίαν μόνην ἐκάλεσε τὴν ἐρώτησιν αὐτοῦ.

Ἀεί τοι—ὁ Κέβης.] Toi is emphatic here, as in Iliad. ε. 873. Ἀεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμέν.

Ὅ τι ἂν τις εἴπῃ.] *Quodcunque illud sit quod quis dixerit.* STALL. Vulg. εἴποι, incorrectly, for the verb is used in referenee to what Socrates had said, not what he was going to say.

Τί γὰρ ἂν βουλόμενοι, κ. τ. λ.] *For with what intent, would men who are really wise fly from those masters who are better than themselves, and heedlessly,* or, *for a trivial cause, depart from them;* i. e. what could induce them to fly, what would they have by flying &c. as in Latin; "quid spectantes hoc fecerunt."—ὡς ἀληθῶς being joined to ἄνδρες σοφοί, as c. 9. ὁ ὄντως φιλόσοφος, c. 11. ὁ γνησίως φιλόσοφος, c. 12. ὁ φιλοσοφῶν ὀρθῶς. c. 29. a med. εἰς Ἅιδου ὡς ἀληθῶς. Cf. Cicer. pro Milon. 30. "Proposita invidia, morte, pœna, qui nihilo segnius rempublicam defendit, is vir vere putandus est."

Εἰς σὲ τείνειν.] h. e. *Te petere hac oratione, his verbis.* STALL. V. Cousin. *Et c'est contre toi, je pense, qu'est dirigé le raisonnement de Cébes.*—Ῥᾳδίως φέρεις — ἀπολείπων. See Matthiæ Gr. s. 555. i.

Ὡς αὐτ. ὁμολ.] *As you yourself admit.*

γετε. οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή με πρὸς ταῦτα ἀπολογήσασθαι ὡς περ ἐν δικαστηρίῳ. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας.

§. 8. Φέρε δή, ἦ δ' ὅς, πειραθῶ πρὸς ὑμᾶς πιθανώτερον ἀπολογήσασθαι ἢ πρὸς τοὺς δικαστάς. ἐγὼ γάρ, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, εἰ μὲν μὴ ᾤμην ἥξειν πρῶτον μὲν παρὰ θεοὺς ἄλλους σοφούς τε καὶ ἀγαθούς, ἔπειτα καὶ παρ' ἀνθρώπους τετελευτηκότας ἀμείνους τῶν ἐνθάδε, ἠδίκουν ἂν οὐκ ἀγανακτῶν τῷ θανάτῳ· νῦν δὲ εὖ ἴστε ὅτι παρ' ἄνδρας τε ἐλπίζω ἀφίξεσθαι ἀγαθούς,—καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην· ὅτι μέντοι παρὰ θεοὺς δεσπότας πάνυ ἀγαθοὺς ἥξειν, εὖ ἴστε ὅτι, εἴ πέρ τι ἄλλο τῶν τοιούτων, διισχυρισαίμην ἂν καὶ τοῦτο. ὥστε διὰ ταῦτα οὐχ ὁμοίως ἀγανακτῶ, ἀλλ' εὔελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι καὶ ὡς πέρ γε καὶ πάλαι λέγεται, πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς.

§. 8. Οὐκ ἀγανακτῶν.] Olympiod. μὴ ἀγανακτῶν. But all the MSS. and best editions read as in the text, which is decidedly correct. Tr. *I should have erred in not being annoyed at death*, which, with μὴ ἀγαν., should be, *if I were not annoyed*. See Seag. Viger. c. vii. s. 12. r. 11. upon the distinction between μὴ and οὐ or οὐκ: the latter denying something directly, and as a matter of fact; the former, denying only in reference to a conception or view, which has either been before expressed, or which, according to the sense, is implied in what precedes. Cf. Matthiæ Gr. s. 608.

Ὅτι — ἥξειν.] Ὅτι is sometimes followed by an infinitive, as supr. Cf. Acts, xxvii. 10. θεωρῶ ὅτι—μέλλειν ἔσεσθαι τὸν πλοῦν. Plat. de Legg. x. p. 892. D. εἶπον ὅτι πρῶτον ἐμὲ χρῆναι πειραθῆναι κατ' ἐμαυτόν. Xenoph. Cyrop. v. 4. 1. ἐνόμισεν, ὅτι, εἴ τι οὗτος πάθοι, αὐτὸς ἂν λάβειν πάντα. See Matthiæ Gr. s. 539. 1.

Εἴ πέρ τι ἄλλο.] Εἴ πέρ τι καὶ ἄλλο. HEIND.

Οὐχ ὁμοίως ἀγανακτῶ.] Socrates intends to say, that feeling such an assurance of his future communion with the gods, he was not, consequently, so annoyed as if death were unaccompanied by such a trust.

Εἶναί τι.] i. e. *Vivere*. GOTTL. as infr. c. 14. ὡς ἔστι ψυχὴ ἀποθανόντος ἀνθρώπου. Cf. Cic. Epp. ad. Div. vi. 3. "nec enim, dum ero, angar ulla re—et, si non ero sensu omni carebo."

Πάλαι λέγεται, πολὺ ἄμεινον.] Cf. Gorg. p. 332. Bas. 2. ἦν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἐστὶν ἐν τοῖς θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα, οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ, ἐκτὸς κακῶν· τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμοτήριον, ὃ δὴ Τάρταρον καλοῦσι ἴέναι. v. Apol. Socr. c. 32. According to Herodotus, the Egyptians were the first who taught the doctrine of the soul's immortality; ii. 123. Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοι εἰσὶ οἱ εἰπόντες ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι· τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῶον

Τί οὖν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες; πότερον αὐτὸς ἔχων τὴν διάνοιαν ταύτην ἐν νῷ ἔχεις ἀπιέναι, ἢ κἂν ἡμῖν μεταδοίης; κοινὸν γὰρ δὴ ἔμοιγε δοκεῖ καὶ ἡμῖν εἶναι ἀγαθὸν τοῦτο. καὶ ἅμα σοι ἡ ἀπολογία ἔσται, ἐὰν ἃ περ λέγεις ἡμᾶς πείσῃς. Ἀλλὰ πειράσομαί γε, ἔφη. πρῶτον δὲ Κρίτωνα τόνδε σκεψώμεθα, τί ἐστιν ὃ βούλεσθαι μοι δοκεῖ πάλαι εἰπεῖν. Τί δέ, ὦ Σώκρατες, ἔφη ὁ Κρίτων, ἄλλο γε ἢ πάλαι μοι λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιστα διαλέγεσθαι; φησὶ γὰρ θερμαίνεσθαι μᾶλλον τοὺς διαλεγομένους, δεῖν δὲ οὐδὲν τοιοῦ-

ἀεὶ γινόμενον ἐσδύεται, &c.; but the transmigration of souls into beasts, birds, and fishes, as stated in loc. cit., which continued for three thousand years, when the soul assumed its human form again, was most probably held by some of the Egyptians, while others, it is equally probable, held that the souls of the good, having wandered for a time among the stars, were allowed to return to the society of the gods. Following the Thracians and Egyptians, from whom he derived his philosophy, Orpheus affirmed the soul to be immortal; and was the first, according to Diodorus Siculus, i. p. 86., who taught, among the Greeks, the doctrine of a future state of rewards and punishments. v. Orph. Argon. 1105. 1136.

Αὐτὸς.] *Alone, by yourself?* Cf. Iliad. ἡ. 99. Τυδείδης δ' αὐτός περ ἐών.

Μεταδοίης.] Aug. μεταδώης: incorrectly. Moeris: Δοίημεν, δοίητε, Ἀττικῶς· δῴημεν, δῴητε, Ἑλληνικῶς. Mosquem. vol. i. p. 59. Ἀλοίη, δοίη, γνοίη, διὰ διφθόγγου δεῖ γράφειν κατὰ τοὺς Ἀττικούς, καὶ οὐχὶ ἀλῴη, δῴη, γνῴη.

Ἡ ἀπολογία.] i. e. *Ea quam dixisti defensio.* HEIND. in reference to οἶμαι γὰρ ὑμᾶς λέγειν ὅτι χρή, κ. τ. λ. supr. c. 7. extr.

Κρίτωνα τόνδε σκεψώμεθα.] h. e. σκεψώμεθα, τί ἔστιν ὃ Κρίτων ὅδε βούλεσθαί μοι δοκεῖ π. ε. Upon τονδε, see Matthiæ Gr. s. 470. 2.

Τί δέ—ἄλλο γε.] Fully, τί δὲ ἄλλο γέ ἐστιν ἢ τοῦτο, ὅτι πάλαι μοι λέγει, &c.

Ὁ μέλλων σοι δώσειν τὸ φάρμακον.] The executioner, infr. c. 65. ὁ τῶν ἑνδεκα ὑπηρέτης. P. Petit, Misc. Obss. i. 17. argues from Plutarch in Phocion. p. 758. E. that the beadle did not make the suggestion, as in the text, from compassion, but because he was obliged to purchase the poison himself, at twelve drachms the dose; πεπωκότων δὲ ἤδη πάντων, τὸ φάρμακον ἐπέλιπε, καὶ ὁ δημόσιος [i. e. ὁ τῶν ἑνδεκ. ὑπηρετ.] οὐκ ἔφη τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμάς, ὅσου τὴν ὀλκὴν ὠνεῖται. Χρόνου δε γενομένου καὶ διατριβῆς, ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπὼν ὅτι μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεὰν ἐστι, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον. However, the person who administered the poison to Socrates appears to have been of a very different character, as may be judged from the description given. c. 65. which cannot be understood otherwise than seriously.

Θερμαίνεσθαι.] Olympiod. ἵνα μὴ ἐκ τῆς κινήσεως θερμανθῇς, καὶ πίψῃς τὸ κώνειον. The efficacy of hemlock, as a poison, lies in the extreme coldness it produces, which might be counteracted by increasing the bodily heat either by exercise or warm draughts, especially of wine, when taken in time to obviate the chill and consequent check of the vital action. V. Plin. H. N. xiv. 5. xxv. 13. Dresig. Dissert de Cicut.—Μᾶλλον, sc. τοῦ δέοντος. HEIND.

τον προσφέρειν τῷ φαρμάκῳ· εἰ δὲ μή, ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας. Καὶ ὁ Σωκράτης, Ἔα, ἔφη, χαίρειν αὐτόν· ἀλλὰ μόνον τὸ ἑαυτοῦ παρασκευαζέτω ὡς καὶ δὶς δώσων, ἐὰν δὲ δέῃ, καὶ τρίς. Ἀλλὰ σχεδὸν μέν τι ᾔδη, ἔφη ὁ Κρίτων· ἀλλά μοι πάλαι πράγματα παρέχει. Ἔα αὐτόν, ἔφη.

Ἀλλ' ὑμῖν δὴ τοῖς δικασταῖς βούλομαι ἤδη τὸν λόγον ἀποδοῦναι, ὡς μοι φαίνεται εἰκότως ἀνὴρ τῷ ὄντι ἐν φιλοσοφίᾳ διατρίψας τὸν βίον θαῤῥεῖν μέλλων ἀποθανεῖσθαι καὶ εὔελπις εἶναι ἐκεῖ μέγιστα οἴσεσθαι ἀγαθά, ἐπειδὰν τελευτήσῃ. πῶς ἂν οὖν δὴ τοῦθ' οὕτως ἔχοι, ὦ Σιμμία τε καὶ Κέβης; ἐγὼ πειράσομαι φράσαι.

§. 9. Κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς

Δεῖν δὲ οὐδὲν τοιοῦτον.] See Matthiæ Gr. s. 608. 3.—Εἰ δὲ μή. See in Criton. c. 15. sub. fin.

Ἀλλὰ — ᾔδη.] Olympiod. Φησὶ καὶ ὁ Κρίτων εἰδέναι ὅτι τοῦτο μέλλει (λέγειν) ὁ Σωκράτης· διότι πεῖραν αὐτοῦ εἶχεν ἐν ὁμωνύμῳ διαλόγῳ, ὡς καταφρονητικῶς ἔχοντος περὶ τὸν θάνατον.

§. 9. Κινδυνεύουσι γὰρ ὅσοι, κ.τ.λ.] Socrates proceeds to argue that philosophy consists in meditation upon and preparation for death. For the duty of the philosoper is to lead away the mind from what is corporeal and transient, and to direct it to the study of its own capabilities for the discovery of pure and simple truth. But in this life, this object cannot be satisfactorily accomplished; for the mind is then chiefly most energetic in thought, when it withdraws itself from the influence of the body, and makes itself the scope of its own contemplation. Whence it appears that so far from requiring the assistance of the body towards the strength and efficiency of its reflective powers, it is only when emancipated from the thrall of the body that it attains to the perfection of its nature. The body seduces from the investigation of truth; the senses, and their subordinate feelings, distract the mind, and lead it into erroneous and false conclusions. The body is hostile, and the opposite to virtue; it is the source of all corruption, and while it depends upon the mind for its pleasure and support, the latter is allured into the commission of vice and crime. It is most likely, then, that after the decease of the body the mind shall attain to the fuller recognition of truth, and shall fix its abode among the gods, provided, that in this life, as far as it could, it cleansed itself from the impurity of the body by a diligent inquiry into truth, and the study of justice, wisdom, and fortitude. The further object of this argument is to show, from the analogy of all things in nature, that death is not annihilation, but a passage to another state of existence; the purport of which has been comprised by Mendelsohn in his Phædo, thus: Since every change in the nature of things takes place mediately, and by successive gradations, a change at once from life to death, from existence to annihilation, would not be gradual, nor, therefore, natural. Besides, nothing can be so diminished as to be utterly destroyed, whence the mind cannot naturally perish.

ἁπτόμενοι φιλοσοφίας, λελῆθέναι τοὺς ἄλλους ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι. εἰ οὖν τοῦτο ἀληθές, ἄτοπον δή που ἂν εἴη προθυμεῖσθαι μὲν ἐν παντὶ τῷ βίῳ μηδὲν ἄλλο ἢ τοῦτο, ἥκοντος δὲ δὴ αὐτοῦ ἀγανακτεῖν ὃ πάλαι προὐθυμοῦντό τε καὶ ἐπετήδευον. Καὶ ὁ Σιμμίας γελάσας Νὴ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὐ πάνυ γέ με νῦν δὴ γελασείοντα ἐποίησας γελάσαι. οἶμαι γὰρ ἂν δὴ τοὺς πολλοὺς αὐτὸ τοῦτο ἀκούσαντας δοκεῖν εὖ πάνυ εἰρῆσθαι εἰς τοὺς φιλοσοφοῦντας καὶ ξυμφάναι ἄν, τοὺς μὲν παρ' ἡμῖν ἀνθρώπους καὶ πάνυ, ὅτι τῷ ὄντι οἱ φιλοσοφοῦντες θανατῶσι καὶ σφᾶς γε οὐ λελήθασιν ὅτι ἄξιοί εἰσι τοῦτο πάσχειν. Καὶ ἀληθῆ

Κινδυνεύουσι.] Olympiod. *ὅτι ἀδεῶς ἔξει περὶ τὸν θάνατον δὲ μελετήσει, νῦν δείκνυσι. δύο γὰρ ὄντων τοῦ τε ἐπιτηδεύειν ἀποθνήσκειν καὶ τοῦ ἐθέλειν ἀποθνήσκειν, τὸν μὲν προαιρετικὸν θάνατον καὶ τὸν χωρισμὸν τῶν παθῶν καὶ ἐπιτηδεύει καὶ ἐθέλει· τὸν δὲ σωματικὸν ἐθέλει μέν, οὐ μὴν ἐπιτηδεύει.* Cic. Tuscul. 1. 30. "tota enim philosophorum ista, ut ait idem (Socrates,) commentatio mortis est."—31. "Secernere autem a corpore animum nec quidquam est, quam emori discere." Senec. Ep. xxv. "egregia res est mortem condiscere—hoc est ipsum quare meditari debeamus." Infr. c. 12. *τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος.*

Ἀποθνήσκειν τε καὶ τεθνάναι.] i. e. *Mori et mortuum esse;* the former being the passage to the latter. WYTT. Cf. Cic. Tusc. i. 8. "Emori nolo: sed me esse mortuum nihil æstumo."

Ἀγανακτεῖν ὀ.] Ὁ may be taken here as depending upon *ἐπετήδευον* or *ἀγανακτεῖν*: the latter construction is preferable. Cf. Demosth. de Chersones. p. 103. *καὶ τοι ἔγωγ' ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρήματα λυπεῖ τινας ὑμῶν,* &c. Id. adv. Conon. p. 1261. *ἐγὼ δὲ— χαλεπῶς, ἐφ' οἷς πέπονθα, ἐνηνοχὼς οὐχ ἧττον τοῦτ' ἀγανακτήσαιμι ἄν,* &c. Lysias. p. 787. *ὃ δὴ ἀγωνιῶ καὶ ἀγανακτῶ, εἰ ταύτῃ τῇ ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων.* HEIND. Steph. in Thes. Ling. Græc. v. *ἀγανακτεῖν*; "rarior præcedentibus constructio est in eadem Phædonis Plat. p. 32. ubi accusativo rei jungitur." Abresch. Lect. Aristænet. p. 266. understands *αὐτῷ* before ὀ.

Γελασείοντα.] Schol. *γελαστικῶς ἔχοντα, γελάσαι θέλοντα.*

Τοὺς μὲν παρ' ἡμῖν.] i. e. The Thebans and Bœotians, who were naturally averse to philosophy and its professors. Olympiod. Cod. i. p. 9. *εἰκότως· Θηβαῖος γὰρ ἦν ὁ Σιμμίας· παρ' οἷς καὶ ἡ Βοιωτία ὑς.* Dacier reads *παρ' υμιν, Athenienses vestri;* approved by Schleiermacher, who understands an evident allusion to the Athenians. V. Cousin reads and refers *παρ' ἡμῖν* to the Thebans, and notes the passage: "C'est comme si Simmias disait: Il y a des gens qui consentiraient volontiers....du moins nos Thébains; car pour les Athéniens, ils n'en sont pas capables assurément....Ici la restriction explicite aux Thébains est une extension indirecte aux Athéniens eux-mêmes dont un étranger devait s'abstenir de parler."

Καὶ πάνυ.] *In particular.—Θανατῶσι*; Schol. *θανάτου ἐπιθυμοῦσι.* Cf. Lobeck. ad Phrynich. p. 80. sqq. For *οὐ λελήθασι* the ordinary form should be *οὐ λέληθε*, but the verb is suited to

γ' ἂν λέγοιεν, ὦ Σιμμία, πλήν γε τοῦ σφᾶς μὴ λεληθέναι. λέληθε γὰρ αὐτοὺς ᾗ τε θανατῶσι καὶ ᾗ ἄξιοί εἰσι θανάτου καὶ οἵου θανάτου οἱ ὡς ἀληθῶς φιλόσοφοι. εἴπωμεν γάρ, ἔφη, πρὸς ἡμᾶς αὐτούς, χαίρειν εἰπόντες ἐκείνοις· ἡγούμεθά τι τὸν θάνατον εἶναι; Πάνυ γ', ἔφη ὑπολαβὼν ὁ Σιμμίας. Ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ὁ θάνατος ἢ τοῦτο; Οὔκ, ἀλλὰ τοῦτο, ἔφη. Σκέψαι δή, ὦ 'γαθέ, ἐὰν ἄρα καὶ σοὶ ξυνδοκῇ ἅ περ καὶ ἐμοί· ἐκ γὰρ τούτων μᾶλλον οἶμαι ἡμᾶς εἴσεσθαι περὶ ὧν σκοποῦμεν. φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοιάσδε, οἷον σιτίων τε καὶ ποτῶν; Ἥκιστά γε, ὦ Σώκρατες, ἔφη ὁ Σιμμίας. Τί δαί; τὰς τῶν ἀφροδισίων; Οὐδαμῶς. Τί δαί;

its subject here as in Xenoph. Œcon. i. 19. ὅτι πονηρότατοι εἰσι, οὐδε σὲ λανθάνουσιν.

Πλήν γε τοῦ σφᾶς μὴ λεληθ.] See Matthiæ Gr. s. 608. 5. *e.*

Ἡγούμεθα τι τὸν θάνατον εἶναι.] i. e. *Estne mors aliquid an nihil? estne ejus notio aiens, an negans.* WYTT. v. Cicer. Tuscul. i. 9.—Ἆρα μὴ ἄλλο τι; See Matthiæ Gr. s. 608. *a.* Obs. 3.

Τὸ σῶμα γεγονέναι.] Olympiod. ἐπὶ μὲν τῆς ψυχῆς τὸ εἶναι εἶπε (Σωκράτης), διότι ἀγγέννητος αὕτη· ἐπὶ δὲ τοῦ σώματος τὸ γεγονέναι, γεννητὸν γὰρ τοῦτο.

Ἐσπουδακέναι.] *To be solicitous.*

Σιτίων τε καὶ ποτῶν—ἀφροδισίων—καλλωπισμῶν.] Cf. Olympiod. p. 9. τριῶν οὐσῶν ἐνεργειῶν ἢ φυσικῶν καὶ ἀναγκαίων ὡς τὸ τρέφεσθαι καὶ καθεύδειν· ἢ φυσικῶν μὲν οὐκ ἀναγκαίων δὲ, ὡς τὸ ἀφροδισιάζειν· ἢ οὔτε φυσικῶν οὔτε ἀναγκαίων, ὡς καλλωπισμὸς, καὶ ὅσα τὰ τῆς ποικίλης ἐσθῆτος· αὗται γὰρ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, ὡς δηλοῦσι τὰ ἄλλα ζῶα, ταύταις μὴ χρώμενα· τριῶν οὖν οὐσῶν ἐνεργειῶν, ταῖς μὲν φυσικαῖς οὐκ ἀναγκαίαις, καὶ ταῖς οὔτε φυσικαῖς οὔτε ἀναγκαίαις οὐ χρήσεται ὅλως ὁ φιλόσοφος, ἄλλα ἀπώσεται αὐτάς.—So, temperance, according to Epicurus, is that discreet regulation of the passions and desires, by which pleasure may be enjoyed without consequent inconvenience. They who maintain such a constant self-command, as never to be enticed by the prospect of present indulgence, to do that which will be productive of evil, obtain the truest pleasures by declining pleasure. Since of desires, some are natural and necessary; others, natural but not necessary; and others neither natural nor necessary, but the offspring of false judgment, it must be the office of temperance to gratify the first class, as far as nature requires; to restrain the second within the bounds of moderation; and as to the third, resolutely to oppose, and if possible, entirely subdue them. Enfield's Philos. B. ii. c. 15.

τὰς ἄλλας τὰς περὶ τὸ σῶμα θεραπείας δοκεῖ σοι ἐντίμους ἡγεῖσθαι ὁ τοιοῦτος; οἷον ἱματίων διαφερόντων κτήσεις καὶ ὑποδημάτων καὶ τοὺς ἄλλους καλλωπισμοὺς τοὺς περὶ τὸ σῶμα πότερον τιμᾷν σοι δοκεῖ ἢ ἀτιμάζειν, καθ' ὅσον μὴ πολλὴ ἀνάγκη μετέχειν αὐτῶν; Ἀτιμάζειν ἔμοιγε δοκεῖ, ἔφη, ὅ γε ὡς ἀληθῶς φιλόσοφος. Οὐκοῦν ὅλως δοκεῖ σοι, ἔφη, ἡ τοῦ τοιούτου πραγματεία οὐ περὶ τὸ σῶμα εἶναι, ἀλλὰ καθ' ὅσον δύναται ἀφεστάναι αὐτοῦ, πρὸς δὲ τὴν ψυχὴν τετράφθαι; Ἔμοιγε. Ἆρ' οὖν πρῶτον μὲν ἐν τοῖς τοιούτοις δῆλός ἐστιν ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας

Ἱματίων διαφερόντων.] *Distinguished robes*; in opposition to those ordinarily worn by philosophers, which were called, in contempt, τρίβωνες or τριβώνια. Xenophon, Memor. i. 6. 2. calls the apparel of Socrates, ἱμάτιον φαῦλον, and Apuleius, Metam. i. p. 104. Elment. *Scissile palliastrum.*—Ὑποδημάτων: for the various species of shoes in use among the Greeks, see Robinson's Grec. Antiq. B. V. c. 25. Socrates makes an express allusion to this part of their appointments here, because they were particularly fastidious, both men and women, about this article of dress, while the philosopher himself went barefoot. Epist. Socr. vi. p. 13. ἐμοὶ μὲν οὖν ἀπαρκεῖ τροφῇ τε χρῆσθαι τῇ λιτοτάτῃ, καὶ ἐσθῆτι θέρους τε καὶ χειμῶνος τῇ αὐτῇ ὑποδήμασι δὲ πάμπαν οὐ χρῶμαι. Aristoph. Nub. 103.—τοὺς ἀλαζόνας. Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λίγεις, Ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.—Τοὺς ἄλλους καλλωπισμούς.—*Cætera*, alia, *corporis lenocinia.* FISCH. Cf. Isocr. ad Demonic. p. 12. εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής·—καλλωπιστοῦ δὲ τὸ περίεργον.—Καλλωπισμός is generally used to designate a culpable affectation in superfluous ornament and dress.

Ἆρ' οὖν.] Ἆρα, frequently by itself denotes *nonne*, like the Latin *ne* enclitic. Matthiæ Gr. s. 614.

Ἀπολύων ὅτι μάλιστα τὴν ψυχήν.] This ἀπόλυσις of the soul is explained, infr. c. 12. τὸ χωρίζειν ἀπο τοῦ σώματος τὴν ψυχήν, κ. τ. λ. Cf. Cic. Tusc. i. 30. "Quid—tum agimus, nisi animum ad seipsum advocamus, secum esse cogimus, maximeque a corpore abducimus? Secernere autem a corpore animum, nec quidquam aliud est mori discere." Senec. de Sap. Ment. Ep. 57. "Animum cogi sibi intentum esse, nec avocari ad externa, omnia licet foris resonent, dum intus nil tumultus sit, dum inter se non rixentur cupiditas et timor." Ep. 65. "Corpus hoc animi pondus ac pœna est, premente illo urgetur, in vinculis est; nisi accessit philosophia." So Virgil, in allusion to the body being, as it were, the prison of the soul, and the faculties of the latter benumbed by its earthly bondage, and blinded towards the attainment of celestial truth, Æn. vi. 733. "Hinc metuunt, cupiuntque; dolent gaudentque: neque auras Despiciunt clausæ tenebris et carcere cæco." Horace is supposed to have alluded to this Platonic doctrine, speaking of Democritus, Ep. i. 12. v. 13. "dum peregre est animus sine corpore velox."—The remedy for this adulteration of the soul by its connexion with the body, is philosophy. The philosopher would withdraw the heart and affections from the perishable and deceptive objects of present and worldly hopes and fears; would struggle to break the chain which

διαφερόντως τῶν ἄλλων ἀνθρώπων; Φαίνεται. Καὶ δοκεῖ γέ που, ὦ Σιμμία, τοῖς πολλοῖς ἀνθρώποις, ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν, οὐκ ἄξιον εἶναι ζῆν, ἀλλ' ἐγγύς τι τείνειν τοῦ τεθνάναι ὁ μηδὲν φροντίζων τῶν ἡδονῶν αἳ διὰ τοῦ σώματός εἰσιν. Πάνυ μὲν οὖν ἀληθῆ λέγεις.

§. 10. Τί δαὶ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν, πότερον ἐμπόδιον τὸ σῶμα ἢ οὔ, ἐάν τις αὐτὸ ἐν τῇ ζητήσει κοινωνὸν συμπαραλαμβάνῃ; οἷον τὸ τοιόνδε λέγω· ἆρα ἔχει ἀλήθειάν τινα ὄψις τε καὶ

binds the etherial and immortal to the corporeal and decaying portion of his nature, and raising himself above the mists of prejudice and vice, would make the TRUTH his study here, and contemplate its sure fulfilment in the time to come. Hence the vulgar and illiterate, engrossed by selfish and immediate sensual pleasures, are unable to appreciate the purpose of philosophy, and reject, as an unwise and unaccountable desire for death, the doctrine that it is a passage only to a future and a better life.

Διαφερόντως τῶν ἄλλων ἀνθρώπων.] *Præ reliquis omnibus.* STALL. Cf. Criton. c. 14. init.

Τοῖς πολλοῖς ἀνθρώποις.] Elsewhere, τοῖς πολλοῖς, simply.

Ὧ—μηδὲ μετέχει αὐτῶν.] i. e. καὶ ὃς μὴ μετεχει αὐτῶν. In the second member of a sentence there must sometimes be understood a case of ὃς different from that expressed in the first Cf. Odyss. β'. 114. ἄνωχθι δέ μιν γαμέεσθαι Τῷ, ὅτεῳ τε πατὴρ κέλεται, καὶ ἀνδάνει αὐτῇ: i. e. καὶ ὅστις· ἀνδάνει αὐτῇ—V. Matthiæ Gr. s. 428. 2. Upon μηδεν and μηδε, see Matthiæ Gr. s. 608. 5. c. Cf. Criton. c. 15. οὐκ ἄξιον εἶναι ζῆν.

Ἐγγύς τι τείνειν τοῦ τεθνάναι.] *Prope mortuum esse, similem esse mortuo.* HEIND., τι being referred to ἐγγὺς, as in ὅμου τι, πάνυ τι, μετάξυ τι, &c. Cf. Soph. Antig. 1179. τὰς γὰρ ἡδονὰς Ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ Ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.

§. 10. Τί δαὶ δὴ περὶ αὐτὴν.] See Matthiæ Gr. s. 630.

Αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν.] "L'idee de la science, implique l'indépendance de l'ame et son immortalité. On ne parvient à la science qu'en se séparant des sens, en ramenant l'œil de l'ame sur elle-même, en l'accoutumant à se servir des puissances intérieures qui lui appartiennent, comme des seuls instrumens légitimes dans toutes ses recherches. En fait, ce n'est pas des sensations et des notions contingentes et purement collectives que produit leur généralisation la plus élevée, que nous viennent les idées universelles et necessaires du bien du beau du juste, de l'activite, de la force, et de l'essence des choses; et, sous le rapport de la méthode, si l'on veut acquérir d'exactes connaissances, ie meilleur moyen assurement n' est pas d'aborder ce qu'on veut connaitre par l'intermédiaire infidèle et mobile des organes corporels, mais par la raison et l'intelligence, élevées a leur plus haut degré d'abstraction et de pureté. Le procédé de l'ame, dans l'acquisition de la connaissance et la direction de l'esprit, temoigne donc aussi d'une energie qui lui est propre, et de son independance du corps." V. Cousin, Œuv. de Plat. tom. i. 162. 163.

Ἐμπόδιον τὸ σῶμα.] Virgil, Æn. vi. 730. πλατωνίζων, "Igneus est ollis vigor et cœlestis origo Seminibus, quantum non noxia corpora tardant Terrenique hebetant artus, moribundaque membra."—GOTTL.

Κοινωνὸν.] *A partner* or *ally.*

Οἷον τὸ τοιόνδε λέγω.] h. e. *Quod quidem ita intelligi volo.* STALL.

ἀκοὴ τοῖς ἀνθρώποις, ἢ τά γε τοιαῦτα καὶ οἱ ποιηταὶ ἡμῖν ἀεὶ θρυλοῦσιν, ὅτι οὔτ' ἀκούομεν ἀκριβὲς οὐδὲν οὔτε ὁρῶμεν; καί τοι εἰ αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσὶ μηδὲ σαφεῖς, σχολῇ αἵ γε ἄλλαι· πᾶσαι γάρ που τούτων φαυλότεραί εἰσιν. ἢ σοί οὐ δοκοῦσιν; Πάνυ μὲν οὖν, ἔφη. Πότε οὖν, η δ' ὅς, ἡ ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ' αὐτοῦ. Ἀληθῆ λέγεις. Ἆρ' οὖν οὐκ ἐν τῷ λογιζεσθαι, εἴ πέρ που ἄλλοθι, κατάδηλον αὐτῇ γίγνεταί τι τῶν ὄντων; Ναί. Λογίζεται δέ γέ που τότε κάλλιστα, ὅταν μηδὲν τούτων αὐτὴν παραλυπῇ, μήτε ἀκοὴ μήτε ὄψις μήτε ἀλγηδὼν μή τέ

Οἱ ποιηταὶ ἡμῖν ἀεὶ.] Olympiod. Ποιητὰς λέγει Παρμενίδην, Ἐμπεδοκλέα, καὶ Ἐπίχαρμον· οὗτοι γὰρ οὐδὲν ἀκριβὲς λέγουσιν εἰδέναι τὴν αἴσθησιν· καθάπερ Ἐπίχαρμος φησι,—Νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, τὰ δὲ ἄλλα κωφὰ καὶ τυφλά.

Parmenides was a disciple of Xenophanes, and an equally distinguished member of the Eleatic school, the doctrines of which he put into verse.—The remaining fragments of his composition are inadequate to explain his system of philosophy, which is not much more intelligible from the dialogue which Plato has written, entitled by his name, in which the tenets of Parmenides are mingled and confounded with his own. The dogma alluded to in the text was that, probably, by which he asserted that nothing in nature is produced or destroyed, but merely seems to be so to the senses. Empedocles, of Agrigentum, in Sicily, appears to have belonged to the Italic school. He possessed some poetical talent, and is supposed by Fabricius, Bib. Gr. i. p. 466, to have been the real author of the "Golden verses of Pythagoras." He asserted that it was impossible to judge of truth by the senses, without the assistance of reason, which is, however, led by their intervention to the contemplation of real nature, and the immutable essences of things. Epicharmus, of the island of Coos, whence he was removed by his father, at an early age, to Megara, and thence to Syracuse, was a disciple of the Pythagorean school. Having been prevented, by the tyranny of Hiero, from a public profession of philosophy, he devoted himself to dramatic poetry, and offended his sect by the introduction of the doctrines and precepts of Pythagoras on the stage. He is supposed by some to have been the inventor of comedy; an honor which is by others ascribed to Susarion. v. Horat. Ep. ii. 1. 58.—"Plautus ad exemplar Siculi properare Epicharmi." Among the poets alluded to in the text, Xenophanes is also to be reckoned, the founder of the Eleatic sect, and a native of Colophon. He left his country early in life, and supported himself, in the court of Hiero, by reciting elegiac and iambic verses, written in censure of the theogonies of Homer and Hesiod. Sext. Emp. Adv. Mathem. vii. 49. 110. Diog. Laert. iii. 12. ix. 27. Cic. Academ. ii. 5.

Θρυλοῦσιν.] Al. Θρυλλοῦσιν.

Ἐν τῷ λογίζεσθαι.] *In reasoning.* i. e. in the exercise of that reason, λόγος, which is a faculty of the mind, ὁ νοῦς.

Παραλυπῇ.] Steph. in marg. *Ipsi nullus corporis sensus molestus est: negotium facessit.* Infr.—τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν, κ. τ. λ.

τις ἡδονή, ἀλλ' ὅτι μάλιστα αὐτὴ καθ' αὑτὴν γίγνηται ἐῶσα χαίρειν τὸ σῶμα, καὶ καθ' ὅσον δύναται μὴ κοινωνοῦσα αὐτῷ μήδ' ἁπτομένη ὀρέγηται τοῦ ὄντος. Ἔστι ταῦτα. Οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀτιμάζει τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ' αὑτὴν γίγνεσθαι; Φαίνεται. Τί δὲ δὴ τὰ τοιάδε, ὦ Σιμμία; φαμέν τι εἶναι δίκαιον αὐτὸ ἢ οὐδέν; Φαμὲν μέντοι νὴ Δία. Καὶ αὖ καλόν γέ τοι καὶ ἀγαθόν; Πῶς δ' οὔ; Ἦδη οὖν πώποτέ τι τῶν τοιούτων τοῖς ὀφθαλμοῖς εἶδες; Οὐδαμῶς, ἦ δ' ὅς. Ἀλλ' ἄλλῃ τινὶ αἰσθήσει τῶν διὰ τοῦ σώματος ἐφήψω αὐτων; λέγω δὲ περὶ πάντων, οἷον μεγέθους πέρι, ὑγιείας, ἰσχύος, καὶ τῶν ἄλλων ἑνὶ λόγῳ ἁπάντων τῆς οὐσίας, ὃ τυγχάνει ἕκαστον ὄν· ἆρα διὰ τοῦ σώματος αὐτῶν τἀληθέστατον θεωρεῖται, ἢ ὧδ' ἔχει· ὃς ἂν μάλιστα ἡμῶν καὶ ἀκριβέστατα παρασκευάσηται αὐτὸ ἕκαστον διανοηθῆναι περὶ οὗ

Ἐνταῦθα.] Sc. while occupied in active thought.

Φαμέν τι εἶναι δίκαιον.] See c. 50. init. *εἶναι τι ἕκαστον τῶν εἰδῶν.*— Olympiod. *αὐτὸ δίκαιον καλεῖ τὴν ἰδέαν*, h. e. *formam, speciem justi;* which is attainable by the mind alone. Cf. Tertullian. de Anima. c. 18. p. 247. t. iv. Semi. "Vult enim Plato esse quasdam substantias invisibiles, incorporales, supermundiales, divinas et æternas: quas appellet *ideas:* i. e. formas exemplares, et causas naturalium istorum manifestorum, et subjacentium corporalibus sensibus, et illas quidem esse veritates, hæc autem imagines earum." *Φαμὲν μέντοι νὴ Δία.* Olympiod.— Ὁ Σιμμίας ἑτοίμως συνκατατίθεται τῷ περὶ τῶν ἰδεῶν λόγῳ, ὡς συνήθης Πυθαγορείοις.

Ἁπάντων τῆς οὐσίας.] Cf. Timæus, p. 27. 28. Ἔστιν οὖν δὴ κατ' ἐμὴν δοξαν πρῶτον διαιρετέον τάδε· τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον· καὶ τί τὸ γιγνόμενον μὲν, ὂν δὲ οὐδέποτε. τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιλαπτὸν, ἀεὶ κατὰ ταυτὰ ὄν· τόδ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου, δοξαστὸν, γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. Hence *οὐσία*, or *essence*, is the term employed to designate the *ἀεὶ κατὰ ταυτὰ ὄν*, so called in contradistinction to the objects of sense, which are continually fluctuating, so that none of them can ever continue uniform, constant, and the same. The divine reason, according to Plato, contains eternally within itself, ideas or intelligible forms, which, flowing from the fountain of the divine essence, have in themselves a real existence, and which, in the foundation of the visible world, were, by the energy of the efficient cause, united to matter, to produce sensible bodies. These ideas Plato defines to be the peculiar nature of things or essences as such; and asserts that they can remain the same, without beginning or end. Phædr. p. 278. de Rep. vii. p. 531. Timæus. c. 6. Enfield, Philos. B. ii. c. 8. s. 1.—Ὃ τυγχάνει ἕκαστον ὄν; subjoined in explanation of *οὐσία* preced. HEIND. V. Cousin—*en un mot de l'essence de toutes choses, c'est a dire de ce qu'elles sont en elles memes?*

σκοπεῖ, οὗτος ἂν ἐγγύτατα ἴοι τοῦ γνῶναι ἕκαστον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅς τις ὅτι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι μή τέ τιν' ἄλλην αἴσθησιν ἐφελκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ' αὑτὸ εἰλικρινὲς ἕκαστον ἐπιχειροίη θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅτι μάλιστα ὀφθαλμῶν τε καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ; ἆρ' οὐχ οὗτός ἐστιν, ὦ Σιμμία, εἴ πέρ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος; Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες.

Ἀκριβέστατα παρασκευάσηται.] h. e. *Qui maxime ac diligentissime instituerit; assuefecerit, &c.* STALL.

Αὐτὸ ἕκαστον.] *Unumquodque τῶν εἰδῶν νοητῶν* [intelligible forms] *si per se ipsum spectetur.* HEIND.

Καθαρώτατα.] *Most purely.* i. e. most independently of the organs of sense.

Παρατιθέμενος.] *Apponens sibi, adhibens ut comitem ac socium.* WYTT. Cf. Clem. Alex. Strom. v. p. 580. A. Ὁ γὰρ μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι, μήτε τινὰ τῶν ἄλλων αἰσθήσεων ἐφελκόμενος, ἀλλ' αὐτῷ καθαρῷ τῷ νῷ τοῖς πράγμασιν ἐντυγχάνων, τὴν ἀληθῆ φιλοσοφίαν μίτεισι. de Repub. vii. c. 12. sub. fin.—οὕτω καὶ ὅταν τις τῷ διαλέγεσθαι ἐπιχειρῇ, ἄνευ πασῶν τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὃ ἔστιν ἕκαστον ὁρμᾷ καὶ μὴ ἀποστῇ πρὶν ἂν αὐτὸ ὃ ἔστιν ἀγαθὸν αὐτῇ νοήσει λάβῃ, &c.

Εἰλικρινεῖ τῇ διανοίᾳ.] Εἰλικρινεῖ is in a degree redundant, being implied in αὐτῇ καθ' αὑτὴν preced. It signifies *unmixed, unalloyed,* and is derived qu. τῇ εἴλῃ κρινόμενος, "quoniam ad splendorem solis, qui εἴλη dicitur, τὰ μεμιγμένα καὶ τὰ ἀμιγῆ facile διακρίνεται." Scap. Lex. V. Cousin.—*dégagée de tout élément étranger et sensible, d'appliquer immédiatement la pure essence de la pensée en elle-même à la recherche de la pure essence de chaque chose en soi, sans le ministere des yeux et des oreilles, sans aucune intervention du corps qui ne fait que troubler l'ame et l'empêcher de trouver la sagesse et la vérité; pour peu qu'elle ait avec lui le moindre commerce? Si l'on peut jamais parvenir à connaître l'essence des choses, n'est-ce pas par ce moyen?*

Θηρεύειν.] This term is in frequent use with Plato and his followers, in reference to the investigation of truth.—Olympiod. Οἰκεῖον τὸ θηρεύειν ἐπὶ τῶν νοητῶν, διότι ἀφανεῖ δυνάμει τῆς ψυχῆς γινώσκεται ταῦτα, καθάπερ καὶ οἱ θηραταὶ ἀφανεῖς σπεύδουσιν εἶναι τοῖς θηράμασιν.

Ἀπαλλαγείς.] Cic. Acadd. iv. 46. "Plato autem omne judicium veritatis, veritatemque ipsam, abductam ab opinionibus, et a sensibus, cogitationis ipsius et mentis, esse voluit."

Ὡς ἔπος εἰπεῖν.] See Apol. Socr. c. 1. init.

Ὁ τευξόμενος τοῦ ὄντος.] *Qui rerum naturam,* i. e. *veritatem* (segregans animum a corpore) *intelliget.* GOTTL. Τὸ ὄν, i. q. ἀλήθεια, because truth is permanent and the same; besides, truth

§. 11. *Οὐκοῦν ἀνάγκη, ἔφη, ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν, ὅτι Κινδυνεύει τοι ὥς περ ἄτραπός τις ἡμᾶς ἐκφέρειν μετὰ τοῦ λόγου ἐν τῇ σκέψει, ὅτι ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ ξυμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοῦ τοιούτου κακοῦ, οὐ μή ποτε κτησόμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· φαμὲν δὲ τοῦτο εἶναι τὸ ἀληθές. μυρίας μὲν γὰρ ἡμῖν ἀσχολίας παρέχει τό σῶμα διὰ*

is the knowledge of what a thing *actually is*. Whence Plato, Tim. c. 9. speaks of the Deity as *τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον*, and of the body as *τί τὸ γιγνόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε*, thus explained by Sextus Empiric.; *διὰ τὴν λεγομένην συνεχῆ ῥύσιν αὐτῶν*, (viz. *τῶν σωμάτων*) *ὡς μηδὲ τὴν τότε δεῖξιν ἐπιδέχεσθαι, μηδὲ εἶναι νομίζεσθαι. παρὸ καὶ ὁ Πλάτων γινόμενα μὲν, ὄντα δὲ οὐδέποτε καλεῖ τὰ σώματα.*

Ὑπερφυῶς—*ὡς ἀληθῆ λέγεις.*] *Mirifice quantum vera dicis.* WYTT.—*ὡς* having here the force of *ὅσον* in the forms *οὐράνιον ὅσον, μυρία ὅσα*, &c. It occurs frequently in this sense in the writings of Plato.

§. 11. Τοῖς *γνησίως φιλοσόφοις.*] *Veros, genuinosque philosophos,* GOTTL.—so called in opposition to the *πολιτικοί*, or those who aimed no higher than the practice of such virtues as affected the well-being of society, temperance, justice, &c. Olympiod. *Γνησίοις φιλοσόφοις εἶπε διὰ τοὺς πολιτικούς.*

Ὅτι.] See Matthiæ Gr. 624. 2. *b.*

Κινδυνεύει τοι ὥς περ ἀτραπός, κ. τ. λ.] Olympiod. Schol. *Φησὶν ὅτι ταύτην τὴν ἀτραπὸν ἰτέον, οὐ τὴν λεωφόρον· τοῦτ' ἔστι, καθαρτικῶς ζητέον· ἀτραπὸς γὰρ ἡ ὁδὸς, τοῦτ' ἔστιν ἡ κάθαρσις ἡ ἐπὶ τὴν θεωρίαν ἄγουσα· οὐ τὴν λεωφόρον δὲ δεῖ ἰέναι, τοῦτ' ἔστι, τὴν τῶν πολλῶν. Καὶ Πυθαγόρειον γὰρ ἦν παράγγελμα, φεύγειν τας λεωφόρους.* Heindorf understands the passage to mean that a certain by-path, pursued by the true philosopher, who separates the soul from the things of sense, and not the high road, traversed by the many who make sense the medium of their judgment, appeared most likely to conduct the searchers after truth, who in their scrutiny took reason for their guide, and on this account, because while the soul is united to, and encumbered with the body, it is incapable of attaining the object of its otherwise unrestrained exertions. So V. Cousin. *Il n'y a qu'un sentier détourné qui puisse guider la raison dans ses recherches; car tant que nous aurons notre corps et que notre ame sera enchaînée dans cette corruption, jamais nous ne posséderons l'objet de nos désirs, c'est-à-dire la vérité;* to which he subjoins in a note; "Ce sentier détourné est évidemment le dégagement de l'ame; i. e. *λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος.* Heindorf further explains *μετὰ λόγου, præeunte et ducente ratione;* Cf. Matthiæ Gr. s. 587. 3. Demosth. Leptin. c. 90. *παρὰ τῶν πολιτῶν λόγῳ μετὰ τῶν νόμων* [*ducentibus, præeuntibus legibus,* WOLF.] *τὰ δίκαια, λαμβάνοντες;* and in this sense proposes *ἐν τῇ μετὰ τοῦ λόγου σκέψει* as an equivalent arrangement to that in the text. Stallbaum understands by *ἡ μετὰ τοῦ λόγου σκέψις—veri investigatio mente et ratione instituta, segregata ac sejuncta corporis communione.* Schleierm. connects *ἡμᾶς* with *μετὰ τοῦ λόγου* in the sense of *ἡμᾶς καὶ τὸν λόγον.* But the spirit of the passage is best evinced and supported by the construction and explanation of Heindorf, as supr.

Μυρίας μὲν γὰρ, κ. τ. λ.] Olympiod *Τοῦτο οὖν αὐτὸ διὰ παραδειγμάτων ἐκτραγῴδουσιν ἀφηγούμενοι,* [i. e. *tragice exaggerant,* sc. *tragedias excitant in describendis impedimentis, quæ fiunt animo a corpore.* GOTTL.] *τὰ συμβαί-*

τὴν ἀναγκαίαν τροφήν· ἔτι δὲ ἄν τινες νόσοι προσπέσωσιν, ἐμποδίζουσιν ἡμῶν τὴν τοῦ ὄντος θήραν· ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς πολλῆς, ὥστε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι ὑπ' αὐτοῦ οὐδὲ φρονῆσαι ἡμῖν ἐγγίγνεται οὐδέποτε οὐδέν. καὶ γὰρ πολέμους καὶ στάσεις καὶ μάχας οὐδὲν ἄλλο παρέχει ἢ τὸ σῶμα καὶ αἱ τούτου ἐπιθυμίαι. διὰ γὰρ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἡμῖν γίγνονται, τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δουλεύοντες τῇ τούτου θεραπείᾳ· καὶ ἐκ τούτου ἀσχολίαν ἄγομεν φιλοσοφίας πέρι διὰ ταῦτα. τὸ

νοντα ἐμπόδια τῇ ψυχῇ ἀπὸ τοῦ σώματος, καὶ κατὰ φύσιν ἔχοντος ἐν ταῖς ἀναγκαίαις τροφαῖς, καὶ παρὰ φύσιν ἐν ταῖς νόσοις.

Καὶ φλυαρίας.] Olympiod. φλυαρίαν καλεῖ ὁ Πλάτων πᾶν τὸ περιττὸν, οὐ μόνον τὸ ἐν λόγοις, ἀλλὰ καὶ τὸ ἐν ἔργοις.

Ὥστε τὸ λεγόμενον.] *Ut, quod vero proverbio dicitur, omnino ne sapere quidem unquam quidquam propter corpus possimus*, WYTT., where it is to be observed that the adage is one to be confined altogether to the class of philosophers. Cf. Matthiæ Gr. s. 432. 5. Ὡς ἀληθῶς τῷ ὄντι. See Matthiæ Gr. s. 636. Cf. de Repub. i. p. 347. D. Ὁ τῷ ὄντι ἀληθινὸς ἄρχων οὐ πίφυκε τὸ αὑτῷ συμφέρον σκοπεῖσθαι. Lachet. p. 183. D. Τοῦτον—ἐγὼ κάλλιον ἐθεασάμην ἐν τῇ ἀληθείᾳ ὡς ἀληθῶς ἐπιδεικνύμενον.

Καὶ γὰρ πολέμους καὶ στάσεις, κ. τ. λ.] Cic. Fin. i. 13. "Cupiditates enim sunt insatiabiles: quæ non modo singulos homines, sed universas familias evertunt: totam etiam labefactant sæpe rempublicam. Ex cupiditatibus odia, dissidia, discordia, seditiones, bella nascuntur: nec hæ sese foris solum jactant, nec tantum in allos cæco impetu incurrunt: sed intus etiam in animis inclusæ inter se dissident atque discordant; ex quo vitam amarissimam necesse est effici; ut sapiens solum, amputatis circumcisaque inanitate omni et errore, naturæ finibus contentus, sine ægritudine posset et sine metu vivere." James, Epist. iv. 1. Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; Οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; Ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, οὐκ ἔχετε, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. Μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν;

Διὰ γὰρ τὴν τῶν χρημάτων, κ. τ. λ.] Olympiod. Πῶς διὰ τὰ χρήματα πάντες οἱ πόλεμοι γίνονται; πολλοὶ γὰρ καὶ δι' ἄλλας αἰτίας ἐγίνοντο· Ῥητέον οὖν ὡς μὲν Ἀρποκρατίων, ἢ ὅτι ἐπὶ τὸ πλεῖστον, ἢ ὅτι καὶ ἡ τῶν λαφύρων ἐλπὶς ἐπιτείνει τὸν πόλεμον· ὡς δὲ Λογγῖνος, τὰ ἐκτὸς πάντα χρήματα καλεῖ. V. Ruhnken in Dissert. de Longin. c. 6. p. 8. Fabric. Bib. Græc. ii. p. 61. Cf. Virg. Æneid. iii. 54. "Quid non mortalia pectora cogis, Auri sacra fames."

Καὶ ἐκ τούτου—διὰ ταῦτα πάντα.] i. e. *Et ex hac corporis causa, propter has cupiditates, et negotia, otium tractandæ philosophiæ nobis intercipitur.* WYTT.—Ἐκ τουτου, in consequence of the body, as a means;—*διὰ ταῦτα πάντα*, on account of its affections, as a result, &c.

Φιλοσοφίας πέρι.] *Quod ad philosophiam attinet.* HEIND.

δ' ἔσχατον πάντων, ὅτι ἐάν τις ἡμῖν καὶ σχολὴ γένηται ἀπ' αὐτοῦ καὶ τραπώμεθα πρὸς τὸ σκοπεῖν τι, ἐν ταῖς ζητήσεσιν αὖ πανταχοῦ παραπῖπτον θόρυβον παρέχει καὶ ταραχὴν καὶ ἐκπλήττει, ὥστε μὴ δύνασθαι ὑπ' αὐτοῦ καθορᾷν τἀληθές. ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται ὅτι εἰ μέλλομέν ποτε καθαρῶς τι εἴσεσθαι, ἀπαλλακτέον αὐτοῦ καὶ αὐτῇ τῇ ψυχῇ θεατέον αὐτὰ τὰ πράγματα· καὶ τότε, ὡς ἔοικεν, ἡμῖν ἔσται οὗ ἐπιθυμοῦμέν τε καὶ φαμὲν ἐρασταὶ εἶναι, φρονήσεως, ἐπειδὰν τελευτήσωμεν, ὡς ὁ λόγος σημαίνει, ζῶσι δὲ οὔ. Εἰ γὰρ μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν θάτερον, ἢ οὐδαμοῦ ἔστι κτήσασθαι τὸ εἰδέναι ἢ τελευτήσασι· τότε γὰρ αὐτὴ καθ' αὑτὴν ἔσται ἡ ψυχὴ χωρὶς τοῦ σώματος, πρότερον δ' οὔ. καὶ ἐν ᾧ ἂν ζῶμεν, οὕτως, ὡς ἔοικεν, ἐγγυτάτω ἐσόμεθα τοῦ εἰδέναι, ἐὰν ὅτι μάλιστα μηδὲν ὁμιλῶμεν τῷ σώματι μηδὲ κοινωνῶμεν, ὅ τι μὴ πᾶσα ἀνάγκη, μηδὲ ἀναπιμπλώμεθα τῆς τούτου φύσεως, ἀλλὰ καθαρεύωμεν ἀπ' αὐτοῦ, ἕως ἂν ὁ θεὸς αὐτὸς ἀπολύσῃ ἡμᾶς. καὶ οὕτω μὲν καθαροὶ ἀπαλλαττόμενοι τῆς τοῦ σώματος ἀφροσύνης, ὡς τὸ εἰκός, μετὰ τοιούτων τε

Τὸ δ' ἔσχατον πάντων, ὅτι, κ. τ. λ.] See Matthiæ Gr. s. 432. 5.

Παραπῖπτον.] *Quod casu et fortuito adeoque tempore interveniat alieno.* — Fisch. Θόρυβον is used in reference to what affects the ears, ταραχὴν, the eyes, and ἐκπλήττει, of the senses generally. Körner.

Οὗ ἐπιθυμοῦμεν—φρονήσεως.] See Matthiæ Gr. 474. *b.*

Ὡς ὁ λόγος σημαίνει.] i. e. What has been hitherto said of the body and its passions, as infr. c. 12. ὅπερ πάλαι ἐν τῷ λόγῳ λέγεται.

Δυοῖν θάτερον.] These words form an apposition, being introduced into a proposition with ἤ—ἤ, without having any other connexion with it. Matthiæ Gr. s. 433. Obs. 1.

Ὅ τι μή.] See in Criton. c. 14. sub. init.

Ἀναπιμπλώμεθα.] See Apol. Socr. c. 20. a med. ἀναπλῆσαι αἰτιῶν.

Ὡς τὸ εἰκός.] *In all likelihood.* Aristid. Orat. i. p. 253. fully, ὡς τὸ εἰκὸς ἔχει.—Μετὰ τοιούτων, i. e. the gods and good men. c. 8. supr.—Ἴσως τἀληθές, *probably true*; ἴσως being used as indicative of a high degree of probability, ὄντως, of certainty itself. Legg. xii. p. 695. G. KA. Ἴσως. ΑΘΗΝ. Οὐκ ἴσως, ἀλλ' ὄντως, ὦ δαιμόνιε, ταύτης οὐκ ἔστι σοφωτέρα μέθοδος ἀνθρώπων οὐδενί. Heindorf observes upon ἴσως, supr., that it is peculiarly expressive of the modesty of the Attic style, to speak hesitatingly of what was positively known and believed. The prudent reserve [εὐλάβεια, Olympiod.] which Plato generally used in treating of such subjects as were manifestly beyond the grasp of human comprehen-

ἐσόμεθα καὶ γνωσόμεθα δι' ἡμῶν αὐτῶν πᾶν τὸ εἰλικρινές· τοῦτο δ' ἐστὶν ἴσως τἀληθές, μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. Τοιαῦτα οἶμαι, ὦ Σιμμία, ἀναγκαῖον εἶναι πρὸς ἀλλήλους λέγειν τε καὶ δοξάζειν πάντας τοὺς ὀρθῶς φιλομαθεῖς. ἢ οὐ δοκεῖ σοι οὕτως; Παντός γε μᾶλλον, ὦ Σώκρατες.

§. 12. Οὐκοῦν, ἔφη ὁ Σωκράτες, εἰ ταῦτ' ἀληθῆ, ὦ ἑταῖρε, πολλὴ ἐλπὶς ἀφικομένῳ οἷ ἐγὼ πορεύομαι, ἐκεῖ ἱκανῶς, εἴ πέρ που ἄλλοθι, κτήσασθαι τοῦτο οὗ ἕνεκα ἡ πολλὴ πραγματεία ἡμῖν ἐν τῷ παρελθόντι βίῳ γέγονεν, ὥστε ἥ γε ἀποδημία ἡ νῦν ἐμοὶ προστεταγμένη μετὰ ἀγαθῆς ἐλπίδος γίγνεται καὶ ἄλλῳ ἀνδρὶ ὃς ἡγεῖταί οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥς περ κεκαθαρμένην. Πάνυ μὲν οὖν, ἔφη ὁ Σιμμίας. Κάθαρσις δὲ εἶναι ἆρα οὐ τοῦτο ξυμβαίνει ὅ περ πά-

sion, was a well-known and commendable characteristic of the Socratic school. Plutarch. de S. N. V. p. 549. B.

Μὴ καθαρῷ γάρ, κ. τ. λ.] Plutarch. de Is. et Osir. p. 352. D. καθαροῦ γὰρ, ᾗ φησιν ὁ Πλάτων, οὐ θεμιτὸν ἅπτεσθαι μὴ καθαρῷ. Hierocl. in Aur. Carm. p. 6. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ. See Matthiæ Gr. s. 517. Obs. 4. and s. 608. c.

Λέγειν τε καὶ δοξάζειν.] *Dicere et existimare omnes, qui doctrinæ recte studeant.* WYTT.

§. 12. Πολλὴ ἐλπὶς — κτήσασθαι.] The construction would probably require κτήσεσθαι or κτήσασθαι ἄν, but after verbs of a like signification to that in the text, the aorist is not unusual. Cf. infr. ἐλπὶς ἐστιν—τυχεῖν. Sympos. p. 193. D. ὃς—εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας παρέχεται καταστήσας ἡμᾶς εἰς τὴν ἀρχαίαν φύσιν καὶ ἰασάμενος μακαρίους καὶ εὐδαίμονας ποιῆσαι. Pindar, Pyth. iv. 432. Ἥλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον.

Εἴ πέρ που ἄλλοθι.] *If any where at all.*

Ἐν τῷ παρελθόντι.] Stephens, and others, read, ἐν τῷ παρόντι, which, as Heindorf justly observes, should have been followed by γίγνεται, not γέγονεν.

Καὶ ἄλλῳ ἀνδρὶ.] Socrates had already asserted of himself, ὥστ' εὐελπίς εἰμι εἶναί τι τοῖς τετελευτηκόσι, καὶ — πολὺ ἄμεινον τοῖς ἀγαθοῖς ἢ τοῖς κακοῖς—but now that he had shown it to be the province of all true philosophers, to aim at a perfect freedom of the mind and its attributes from the body and its influences, he concludes that any other, who had so achieved his moral independence, should welcome like himself, with willingness and hope, the prospect of a pure and perfect life to come.

Κάθαρσις δὲ εἶναι—τοῦτο ξυμβαίνει.] For ξυμβ. κάθαρσιν εἶναι τοῦτο, as infr. c. 19. init. Ἆρ' οὖν οὐ κατὰ πάντα ταῦτα ξυμβαίνει τὴν ἀνάμνησιν εἶναι μὲν ἀφ' ὁμοίων, &c. See Matthiæ Gr. s. 297. This doctrine of the purification of the soul was borrowed from the Orphic and Pythagorean schools, which inculcated an austere and constant course of discipline, as tending to emancipate the soul from the contagion of things terrestrial, and to restore it unspotted to its celestial source. — KÖRNER.

λαι ἐν τῷ λόγῳ λέγεται, τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχὴν καὶ ἐθίσαι αὐτὴν καθ' αὑτὴν πανταχόθεν ἐκ τοῦ σώματος συναγείρεσθαί τε καὶ ἀθροίζεσθαι, καὶ οἰκεῖν κατὰ τὸ δυνατὸν καὶ ἐν τῷ νῦν παρόντι καὶ ἐν τῷ ἔπειτα μόνην καθ' αὑτήν, ἐκλυομένην ὡς περ ἐκ δεσμῶν ἐκ τοῦ σώματος; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γ', ἦ δ' ὅς. Λύειν δέ γε αὐτήν, ὡς φαμέν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος. ἢ οὔ; Φαίνεται. Οὐκοῦν ὅ περ ἐν ἀρχῇ ἔλεγον, γελοῖον ἂν εἴη ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι οὕτω ζῆν, κἄπειθ' ἥκοντος αὐτῷ τούτου ἀγανακτεῖν; οὐ γελοῖον; Πῶς δ' οὔ; Τῷ ὄντι ἄρα, ἔφη, ὦ Σιμμία, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιστ' αὐτοῖς ἀνθρώπων φοβερόν. ἐκ τῶνδε δὲ σκόπει. εἰ γὰρ διαβέβληνται μὲν πανταχῇ τῷ σώματι, αὐτὴν δὲ καθ' αὑτὴν ἐπιθυμοῦσι τὴν ψυχὴν

Συναγείρεσθαι τε καὶ ἀθροίζεσθαι.] Cf. Hom Il. θ. 240. ἐσαγείρατο θυμὸν and Schol. in loc. νοῦν ἠθροίζετο.

Ὡς περ ἐκ δεσμῶν ἐκ τοῦ σώματος.] In such appositions the Greek writers seldom repeat the preposition, except for the sake of emphasis, as supr. and infr. c. 33. ὥσπερ δι' εἰργμοῦ διὰ τούτου σκοπεῖσθαι, &c. c. 64. ὥσπερ κατ' ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα. — Phædr. p. 250. D. ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθε. Whence the latter ἐκ has been in some editions incorrectly omitted.

Τοῦτο γε θάνατος.] See Matthiæ Gr. s. 472. 2. *e.*

Τὸ μελέτημα.] *The study, practice, or pursuit.*

Ὅτι ἐγγυτάτω ὄντα τοῦ τεθνάναι.] h. e. *qui se ita componit et hoc studet, ut vitam agat morti quam proximam.*— STALL.—οὕτω ζῆν, is elegantly redundant here; Cf. Herodot. i. 196. ἐγγυητὰς χρῆν καταστήσαντα, ἢ μὴν συνοικήσειν αὐτῇ, οὕτω ἀπάγεσθαι.— WYTT.

Τούτου.] Sc. τοῦ τεθνάναι.

Ἀποθνήσκειν — καὶ τὸ τεθνάναι] Supr. c. 9. init.

Διαβέβληνται μὲν πανταχῇ τῷ σώματι.] Schol. ἀντὶ τοῦ διαβεβλημένως ἔχουσι πρὸς τὰ σῶμα. *Ab omni parte inimici sunt corpori, infensi; corpus ut inimicum suspicantur et oderunt.* WYTT. Upon εἰ γὰρ preced. see Matthiæ Gr. s. 630. 2. *f.*—upon αὐτὴν δὲ καθ' αὑτήν, seq. s. 616. and upon the indicatives, διαβέβληνται and ἐπιθυμοῦσι, with the optatives, φοβοῖντο and ἀγανακτοῖεν following εἰ, s. 524. Obs. 1.

ἔχειν, τούτου δὲ γιγνομένου εἰ φοβοῖντο καὶ ἀγανακτοῖεν, οὐ πολλὴ ἂν ἀλογία εἴη, εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν οἳ ἀφικομένοις ἐλπίς ἐστιν, οὗ διὰ βίου ἤρων, τυχεῖν· ἤρων δὲ φρονήσεως· ᾧ τε διαβέβληντο, τούτου ἀπηλλάχθαι ξυνόντος αὐτοῖς; ἢ ἀνθρωπίνων μὲν παιδικῶν καὶ γυναικῶν καὶ υἱέων ἀποθανόντων πολλοὶ δὴ ἑκόντες ἠθέλησαν εἰς Ἅιδου ἐλθεῖν, ὑπὸ ταύτης ἀγόμενοι τῆς ἐλπίδος, τῆς τοῦ ὄψεσθαί τι ἐκεῖ ὧν ἐπεθύμουν καὶ ξυνέσεσθαι· φρονήσεως δὲ ἄρα τις τῷ ὄντι ἐρῶν, καὶ λαβὼν σφόδρα τὴν αὐτὴν ταύτην ἐλπίδα, μηδαμοῦ ἄλλοθι ἐντεύξεσθαι αὐτῇ ἀξίως λόγου ἢ ἐν Ἅιδου, ἀγανακτήσει τε ἀποθνήσκων καὶ οὐκ ἄσμενος εἶσιν αὐτόσε; οἴεσθαί γε χρή, ἐὰν τῷ ὄντι γ' ᾖ, ὦ ἑταῖρε, φιλόσοφος· σφόδρα γὰρ αὐτῷ ταῦτα δόξει, μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει ἀλλ' ἢ ἐκεῖ. εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅ περ ἄρτι ἔλεγον, οὐ πολλὴ ἂν ἀλογία εἴη εἰ φοβοῖτο τὸν θάνατον ὁ τοιοῦτος;

§. 13. Πολλὴ μέντοι νὴ Δία, ἦ δ' ὅς. Οὐκοῦν ἱκανόν σοι τεκμήριον, ἔφη, τοῦτο ἀνδρὸς ὃν ἂν ἴδῃς ἀγανακτοῦντα μελλοντα ἀποθανεῖσθαι, ὅτι οὐκ ἄρ'

Εἰ μὴ ἄσμενοι ἐκεῖσε ἴοιεν.] Here the original proposition repeated, is turned into a question. Math. Gr. s. 636.

Ἢ ἀνθρωπίνων μὲν παιδικῶν.] *For the sake of human objects of affection*, to which are opposed, ἡ φρόνησις καὶ ἡ φιλοσοφία, which may be considered as θεῖα παιδικά, *divine objects of regard*; παιδικά, admitting of being applied to whatever is dearly cherished or beloved, may be affirmed of philosophy, as the favorite of its genuine professors. Heindorf compares Gorg. p. 482. A. ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. V. Markland ad Tyr. Max. Diss. XXXV. 1.— Ἑκόντες ἠθέλησαν, i. e. having sought the accomplishment of their desires, by self-destruction.

Τὴν αὐτὴν ταύτην ἐλπίδα.] *This same hope*. sc. which was entertained by those who had descended into the lower regions, of renewing their interrupted love.

Μηδαμοῦ ἄλλοθι.] See Matthiæ Gr. s. 608. 3.

Ἀξίως λόγου.] i. q. ἱκανῶς, supr. c. 11. and καθαρῶς, seq. Körn.

Οἴεσθαί γε χρή.] Sc. ὡς πολλὴ ἂν ἀλογία εἴη. Wytt.

Ὅ περ ἄρτι ἔλεγον.] Stephens correctly refers this to οὐ πολλὴ ἂν ἀλογία εἴη, seq.

§. 13. Τοῦτο ἀνδρὸς.] Τοῦτο is explained by ὃν ἂν ἴδῃς ἀγαν. seqq. Heind. Cf. Xenoph. Œcon. iv. 19.— Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ὑπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν θέλωσι.

Ὅτι οὐκ ἄρ' ἦν.] Thus explained by Heindorf; *non erat philosophus tum*

ἦν φιλόσοφος ἀλλά τις φιλοσώματος; ὁ αὐτὸς δέ που οὗτος τυγχάνει ὢν καὶ φιλοχρήματος καὶ φιλότιμος, ἤτοι τὰ ἕτερα τούτων ἢ καὶ ἀμφότερα. Πάνυ γ', ἔφη, ἔχει οὕτως ὡς λέγεις. Ἆρ' οὖν, ἔφη, ὦ Σιμμία, οὐ καὶ ἡ ὀνομαζομένη ἀνδρία τοῖς οὕτω διακειμένοις μάλιστα προσήκει; Πάντως δή που, ἔφη. Οὐκοῦν καὶ ἡ σωφροσύνη, ἣν καὶ οἱ πολλοὶ ὀνομάζουσι σωφροσύνην, τὸ περὶ τὰς ἐπιθυμίας μὴ ἐπτοῆσθαι ἀλλ' ὀλιγώρως ἔχειν καὶ κοσμίως, ἆρ' οὐ τούτοις μόνοις προσήκει τοῖς μάλιστα τοῦ σώματος ὀλιγωροῦσί τε καὶ ἐν φιλοσοφίᾳ ζῶσιν; Ἀνάγκη, ἔφη. Εἰ γὰρ ἐθέλεις, ἦ δ' ὅς, ἐννοῆσαι τὴν γε τῶν ἄλλων ἀνδρίαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι

quisnam esse videbatur; ἆρ' ἦν being a form in frequent use with the Greek writers, to indicate the deceitfulness and disappointment of a previous hope. Cf. Odyss. π. 418. sqq. *Ἀντίνο', ὕβριν ἔχων, κακομήχανε, καί δὶ σὲ φασιν Ἐν δήμῳ Ἰθάκης μεθ' ὁμήλικας ἔμμεν' ἄριστον Βουλῇ καὶ μύθοισι σὺ δ' οὐκ ἄρα τοῖος ἔησθα.* Eurip. Hipp. 360. *Κύπρις οὐκ ἄρ' ἦν θεός, Ἀλλ' εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ, Ἥ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.*

Τις φιλοσώματος.] See infr. c. 32. init.

Ἢ καὶ ἀμφότερα.] Apol. Socr. c. 8. extr. Cf. Homer. Il. γ'. 178. *Οὗτος γ'—Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.*

Τοῖς οὕτω διακειμένοις.] Videl. *iis, qui student animum sejungere a corpore atque sperant se sapientiam esse assecuturos, ubi venerint ad inferos.* STALL.

Οἱ πολλοί.] *Vulgus,* [inf. *τῶν ἄλλων,*] i. e. *ii,* qui non possunt in numero virorum philosophorum haberi. STALL. v. infr. c. 31. sub. fin. *Μὴ ἐπτοῆσθαι.* Suid. *θαυμάζειν.* See Horat. Ep. i. 6. 1. "Nil admirari—" 9. sqq. "Qui timet his adversa, fere miratur eodem Quo cupiens, pacto; pavor est utrobique molestus, Improvisa simul species exterret utrumque:" and M'Caul, in loco citt. The verb *πτοεῖσθαι* is used here like the Latin *trepidare,* or *metuere,* as expressive of that tremulous apprehension attending the desires and affections of the body, which arises from the uncertainty of their future fulfilment. Cf. infr. c. 57. *πολὺν χρόνον ἐπτοημένῃ.* This temperance, or equanimity with regard to the affections, which even the vulgar, though they do not possess, are still competent to define, is limited in truth, as well as the preceding virtue, *ἀνδρία,* to philosophers alone. V. Cousin.—*et la tempérance, cette vertu qui consiste à maîtriser ses passions, ne convient-elle pas particulièrement à ceux qui méprisent leur corps et qui se sont consacrés à l'étude de la sagesse?*

Εἰ γὰρ ἐθέλεις—δόξει σοι.] Heindorf compares with this construction, Protag. c. 39. *εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὃ Σώκρ. τοὺς ἀδικοῦντας, τί ποτε δύναται, αὐτό σε διδάξει.*—Menon. p. 71. A. *εἰ γοῦν τινα ἐθέλεις οὕτως ἐρέσθαι τῶν ἐνθάδε, οὐδεὶς ὅστις οὐ γελάσεται καὶ ἐρεῖ;* whence he prefers the reading as supr. to Vulg. *ἐθελήσεις.*

Τὴν γε τῶν ἄλλων ἀνδρίαν τε καὶ σωφρ.] i. e. The semblances and counterfeit of these virtues amongst the vulgar many, the reality of which could be only felt and appreciated by the wiser few. See Cicero, de Fin. i. 10. 14. 18. ii. 14. 15. Socrates now proceeds to prove how it is that the philosopher

ἄτοπος. Πῶς δή, ὦ Σώκρατες; Οἶσθα, ἦ δ' ὅς, ὅτι τὸν θάνατον ἡγοῦνται πάντες οἱ ἄλλοι τῶν μεγάλων κακῶν εἶναι; Καὶ μάλα, ἔφη. Οὐκοῦν φόβῳ μειζόνων κακῶν ὑπομένουσιν αὐτῶν οἱ ἀνδρεῖοι τὸν θάνατον, ὅταν ὑπομένωσιν; Ἔστι ταῦτα. Τῷ δεδιέναι ἄρα καὶ δέει ἀνδρεῖοί εἰσι πάντες πλὴν οἱ φιλόσοφοι. καί τοι ἄτοπόν γε δέει τινὰ καὶ δειλίᾳ ἀνδρεῖον εἶναι. Πάνυ μεν οὖν. Τί δαί, οἱ κόσμιοι αὐτων οὐ ταὐτὸν τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσι; καί τοι φαμέν γέ που ἀδύνατον εἶναι, ἀλλ' ὅμως αὐτοῖς συμβαίνει τούτῳ ὅμοιον. εἶναι τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην· φοβούμενοι γὰρ ἑτέρων ἡδονῶν στερηθῆναι καὶ ἐπιθυμοῦντες ἐκείνων, ἄλλων ἀπέχονται ὑπ' ἄλλων κρατούμενοι. καί τοι καλοῦσί γε ἀκολασίαν τὸ ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι, ἀλλ' ὅμως ξυμβαίνει αὐτοῖς κρατουμένοις ὑφ' ἡδονῶν κρατεῖν ἄλλων ἡδονῶν. τοῦτο δ'

alone is possessed of those virtues in all their perfection and efficacy. The dread of some greater evil emboldens the ignorant against the fear of death; but there is an inconsistency in courage arising thus from cowardice: equally so in the abstinence which is owing to intemperance, and yet amongst the vulgar, these incongruities do actually exist.—And for this reason; their's is not like the philosopher's, an utter independence of the passions, but a reciprocation of them, like the interchange of money. They call it intemperance, to be subject to their yoke, but still, if they forbear from the pursuit of one pleasure, it is but to secure the enjoyment of another and a more probable. So with their fortitude, which is the offspring of despair, and not like the philosopher's, the calmly anticipated result of hope. Hence it is evident that the latter is imbued with the essence of those virtues of which the former are but familiar with the name, and of which, in their attempt to practise, they only can succeed in the abuse.

Τῷ δεδιέναι—καὶ δέει.] i. e. *By the act and principle of fear.*

Δειλίᾳ ἀνδρεῖον εἶναι.] Cf. Plutarch. Vit. Romul. p. 37. D. ὁ δὲ (sc. Romulus) δουλείας φυγῇ παρούσης καὶ τιμωρίας ἐπιφερομένης, ἐκεῖνο τὸ τοῦ Πλάτωνος, ἀτεχνῶς ὑπὸ δίους ἀνδρεῖος γενόμενος.

Οἱ κόσμιοι.] *Homines moribus compositis, temperantiæ et munditiei studiosi.* GOTTL. In the text it appears nearly synonymous with σώφρονες. "What," says Socrates, "of the temperate amongst them? Are they not so affected as to owe their abstinence to intemperance? Which, impossible as it may appear, still to such an affection as this they are assuredly liable, in consequence of their foolish and inadequate notions upon the subject of the virtue which they have not the sense to comprehend."—Ἀλλ' ὅμως αὐτοῖς, κ. τ. λ.—h. e. ἀλλ' ὅμως τὸ πάθος τὸ περὶ ταύτην τὴν εὐήθη σωφροσύνην, ὁ αὐτοῖς συμβαίνει, τούτῳ ὅμοιόν ἐστιν.—Εὐήθη, i. q. ἀτοπόν, supr. Cf. Alcibiad. ii. c. 5. οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι κατονομάζειν οἱ μὲν μεγαλοψύχους, οἱ δὲ εὐήθεις, ἕτεροι δὲ ἀκάκους καὶ ἀ-

ὅμοιόν ἐστιν ᾧ νῦν δὴ ἐλέγετο, τῷ τρόπον τινὰ δι' ἀκολασίαν αὐτοὺς σεσωφρονίσθαι. Ἔοικε γάρ. Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι, καὶ μείζω πρὸς ἐλάττω, ὥς περ νομίσματα, ἀλλ' ᾖ ἐκεῖνο μόνον το νόμισμα ὀρθόν, ἀνθ' οὗ δεῖ ἅπαντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα

πείρους καὶ ἰνεούς. Terent. Phorm. iii. 2. 63. "homo suavis!" KÖRNER.

Ὦι νῦν δὴ ἐλέγετο.] Fully, ᾧ ὅμοιον εἶναι ἐλέγετο. Matthiæ Gr. s. 473. Obs. 1.

Μὴ γὰρ οὐχ αὕτη.] Sc. ὁρᾶ or φοβοῦμαι μὴ γάρ, &c. See Matthiæ Gr. s. 608. 5. Stallbaum explains the passage; *Noli hunc sentiendi agendique rationem probare; vide enim, ne hæc non sit recta ad virtutem adipiscendam permutatio, ut voluptates cum voluptatibus commutemus.* V. Cousin: *Songe que ce n'est pas un très-bon échange pour la vertu que de changer des voluptés pour des voluptés, des tristesses pour des tristesses, &c.* In the older editions ἀλλαγή was not found, and ὁδὸς was understood, by a common ellipse, to ἡ ὀρθή, to which, however, Wyttenbach supplied ἀρετή, as virtue itself, and not the way to it, was the subject of discussion, and so read ἡ ὀρθὴ ἀρετή, ἡδονὰς πρὸς ἡδονάς, κ. τ. λ.—Καταλλάττεσθαι—Cf. Aristot. Ethic. Nicomach. iii. 9. ἕτοιμοι γὰρ οὗτοι πρὸς τοὺς κινδύνους, καὶ τὸν βίον πρὸς μικρὰ κέρδη καταλλάττονται. Ælian. Nat. An. viii. 1. θάνατον δὲ ὑπὲρ τῆς ἀνδρείας ἠλλάξατο.

Καὶ μείζω πρὸς ἐλάττω.] *Ominoque majora permutare minoribus velut nummismata.* HEIND. i. e. balancing the passions and affections, with a view to being guided by their relative degrees, a mode which is evidently inadmissible in estimating the virtues. V. Cousin—*Et de mettre, pour ainsi dire, ses passions en petite monnaie.*

Μόνον τὸ νόμισμα ὀρθόν.] *The only sterling coin.* V. Cousin. *la seule bonne monnaie.* Cf. Philo Jud. de Somn. p. 1120. C. τὸ τῆς ψυχῆς νόμισμα, παιδείαν, ἐξιστάντες καὶ κατακιρματίζοντες οἰκτρῶς ἀναλίσκουσιν.

Ἀνθ' οὗ.] The preposition ἀντί, with the genitive, sometimes accompanies the verbs signifying *to exchange.* Matthiæ Gr. s. 365. Obs. 1.

Καὶ τούτου μὲν πάντα, κ. τ. λ.] *Vereorque ne quæ hoc numismate emuntur venduntur, ea omnia sint re vera, tum fortitudo, tum temperantia, tum justitia, omninoque vera virtus sit cum sapientia conjuncta, &c.* HEIND., who proposes, however, as ὠνεῖσθαι is seldom, if ever, used in a passive sense, to read the passage, καὶ ἃ μετὰ τούτου ὠνούμεθα τε καὶ πιπρασκόμεθα. Wyttenbach objects to the text, on the grounds that ὠνούμενα cannot be referred to τούτου, i. e. φρονήσεως. For if anything be purchased for prudence, it would appear that prudence should then be parted with as the price, which is contrary to the injunction of Socrates, that prudence should be the thing to be acquired. Accordingly he arranges and interprets the passage as follows; καὶ τούτου μὲν πάντα τε πιπρασκόμενα καὶ μετὰ τούτου ὠνούμενα· i. e. *et si hac omnia vendantur, et cum hac* (i. e. prudenter) *omnia emantur, tum revera constat et fortitudo et temperantia, et justitia, et summatim vera virtus, quæ sine prudentia esse nequit.* But the passage may be admitted as it stands, as a general explanation of καταλάττεσθαι supr., and, as Socrates had asserted that a reciprocation of pleasures, pains, or fears, with similar affections, even though unequal in degree, was not ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, so he proceeds to affirm what this exchange, properly so called, consisted in, which was nothing else than the interchange of prudence for its equivalent virtues. Prudence was the τὸ νόμισμα ὀρθόν, (the metaphor being

καὶ μετὰ τούτου ἀνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ, καὶ ἀνδρία καὶ σωφροσύνη καὶ δικαιοσύνη, καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ ᾖ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων· χωριζόμενα δὲ φρονήσεως καὶ ἀλλαττόμενα ἀντὶ ἀλλήλων, μὴ σκιαγραφία τις ᾖ ἡ τοιαύτη ἀρετὴ καὶ τῷ ὄντι ἀνδραποδώδης τε καὶ οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς ἔχῃ, τὸ δ' ἀληθὲς τῷ ὄντι ᾖ κάθαρσίς τις τῶν τοιούτων πάντων, καὶ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη καὶ ἡ

continued from *μείζω πρὸς ἐλάττ. ὥσπ. νομ.* supr.) which none who possessed would part with for less than its value, nor could any so part with except in name, prudence being only the aggregate of the virtues, as mentioned supr. in detail.

'Ανδρία καὶ σωφροσύνη καὶ δικαιοσύνη.] Cf. Plat. de Repub. iv. cc. 6. 10. 16. where the four virtues, as supr., prudence, justice, temperance, and fortitude, are mentioned, as also in Legg. iii. p. 688. p. 963. B., a division which Wyttenbach supposes to have been borrowed from the Pythagoreans. Cf. Cic. de Offic. i. 5. "Omne quod honestum est, id quatuor partium oritur ex aliqua: aut enim in perspicientia veri sollertiaque versatur, aut in hominum societate tuenda, tribuendoque suum cuique, et rerum contractarum fide: aut in animi excelsi atque invicti magnitudine ac robore: aut in omnium quæ fiunt, quæque dicuntur, ordine et modo, in quo inest modestia et temperantia." The Stoics held these to be the primary virtues; prudence, as respected the choice and pursuit of good; temperance, the government of the appetites and desires; fortitude, the endurance of what is commonly esteemed evil, and justice, the offices of social life. Enf. Phil. ii. 11. 1.

Ξυλλήβδην] *In sum.*

'Αληθὴς ἀρετὴ ᾗ μετὰ φρονήσεως.] Socrates decides upon wisdom or prudence as the sum and basis of all the virtues; Cf. Meno, c. 24. Upon which Aristotle, Eth. Nicom. vi. 13. Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει, τῇ δ' ἡμάρτανεν. ὅτι μὲν γὰρ φρονήσεις ᾤετο εἶναι πάσας τὰς ἀρετάς, ἡμάρτανεν· ὅτι δ' οὐκ ἄνευ φρονήσεως ἔλεγε.

Καὶ προσγιγνομένων καὶ ἀπογιγ.] h. e. *Sive adsint sive absint.* STALL.

Χωριζόμενα δὲ φρονήσεως—] *Disjuncta autem hæc a sapientia et invicem commutata vide ne nihil sint nisi adumbratio quædam virtutis.* STALL.— χωριζόμενα—καὶ ἀλλαττόμενα referring to ἡδονας—λυπας, &c. supr.

Σκιαγραφία.] *A semblance*, or *similitude*; — a metaphor taken from painters or sculptors who only imitate reality. So virtue does not actually, but in appearance merely, exist among those who reciprocate the passions apart from wisdom. Cf. Cic. pro M. Cœl. 5. "Habuit ille maximarum non expressa signa, sed adumbrata virtutum." Tusc. Quæst. iii. 2. "Consectatur nullam eminentem effigiem virtutis, sed adumbratam imaginem gloriæ." Offic. i. 15. "simulacrum virtutis;" which Cicero applies to the mere shadowing-forth of virtue, after Plato, Sympos. 190. εἴδωλα ἀρετῆς. Cf. Theætet. c. 7. p. 111. Fisch. ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς. Plutarch. adv. Epicur. p. 1091. D. Πλάτων—ἀπηγόρευε τὰς λυπῶν καὶ πόνων ἀπαλλαγὰς ἡδονὰς μὴ νομίζειν ἀλλ' οἷον τινα σκιαγραφίαν ἢ μίξιν οἰκείου καὶ ἀλλοτρίου, καθάπερ λευκοῦ καὶ μέλανος.

Τὸ δ' ἀληθὲς τῷ ὄντι.] Supr. c. 11. ὡς ἀληθῶς τῷ ὄντι. *Revera autem certo purgatio talium omnium, et temperantia, et justitia, et fortitudo: atque ipsa prudentia vide ne sit purgatio.*

ἀνδρία καὶ αὐτὴ ἡ φρόνησις μὴ καθαρμός τις ᾖ. Καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι· οὗ-

WYTT. Virtue, in truth and reality, consists in the purification of the passions, which is effected by temperance, justice, fortitude, and prudence itself; through the medium of these qualities, and as their origin and source.—Τῶν τοιούτων πάντων, Intell. ἡδονῶν, φόβων, κ. τ. λ. This doctrine of the purifying of the mind by the study of virtue, i. e. by philosophy, was inculcated by many of the ancient philosophical writers, but eminently by Plato, through the whole range of his compositions, whence the frequent mention of the virtues and courses of discipline, entitled καθαρτικαι. V. Aristot. Poet. 16. Politic. viii. 7.

Καθαρμός τις.] This was the first part of the μυήσις, or initiation, which took place by the river Ilissus, where the person to be purified stood, having under his feet the Διὸς κώδιον, or skin of a victim offered to Jove. The second grade of initiation was the τῆς τελετῆς παράδοσις; the third, ἐποπτεία; the fourth, ἀνάδεσις καὶ στεμμάτων ἐπίθεσις, and the fifth, τὸ θεοφιλὲς καὶ θειοῖς συνδίαιτος εὐδαιμονία. See Robinson's Grec. Antiq. iii. c. 19.—ΕΛΕΥΣΙΝΙΑ.

Οὗτοι.] *Noti illi, celebrati illi;* Orpheus, Musæus, &c. STALL. Καταστήσαντες; Eurip. Bacch. 21. Κἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς Τελετὰς—ἐς τήνδε—ἦλθον πόλιν.

Ἐν βορβόρῳ κείσεται.] This doctrine was taken, according to Olympiodorus, from one of the Orphic hymns. Fragm. Orph. p. 509. Herm. Hymn. in Cerer. 485. Ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων· Ὃς δ' ἀτελὴς, ἱερῶν ὃς τ' ἄμμορος, οὔποθ' ὁμοίων Αἶσαν ἔχει, φθίμενος περ, ὑπὸ ζόφῳ εὐρώεντι. Schol. Olymp. διόπερ καὶ παρῳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον ὅτι ὅστις δ' ἡμῶν ἀτέλεστος, ὥσπερ ἐν βορβόρῳ κείσεται ἐν ᾅδου. Cf. de Rep. ii. p. 363. D.—Μουσαῖος—καὶ ὁ υἱὸς αὐτοῦ—τοὺς ἀνοσίους καὶ ἀδίκους εἰς πηλόν τινα κατορύττουσιν ἐν ᾅδου,—and infr. E. Βίβλων ὅμαδον παρέχονται (οἱ μάντεις) Μουσαίου καὶ Ὀρφέως—καθ' ἃς θυηπολοῦσι πείθοντες—ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν εἰσι μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς· μὴ θύσαντας δὲ δεινὰ περιμένει. Whence Diog. Cynic. apud Laert. vi. 39. γελοῖον εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται.—Βορβόρος, properly ἡ ἐκ τῆς βορᾶς κόπρος. Scap. Lex.

Ὁ δὲ κεκαθαρμένος—μετὰ θεῶν οἰκήσει.] The ancient writers have frequently made mention of the future felicity of the initiated. Soph. apud. Plutarch. de Aud. Poet. c. 4. ὡς τρισόλβιοι Κεῖνοι βροτῶν, οἳ ταῦτα διελθόντες τέλη Μολῶς' εἰς ᾅδου. v. Aristoph. Ran. 346. Æschin. in Axioch. c. 20. Upon this sense of τέλη, Cf. Cic. in Verr. v. 72.—"teque Ceres, et Libera, quarum sacra, sicut opiniones hominum et religiones ferunt, longe maximis atque occultissimis cæremoniis continentur: a quibus initia vitæ, atque victus, legum, morum, mansuetudinis, humanitatis exempla hominibus et civitatibus data ac dispertita esse dicuntur."

Ναρθηκοφόροι μὲν πολλοὶ βάκχ. ὅ. τ. π.] Taken also from an Orphic hymn. Schol. Aristoph. Equit. 406. βάκχον οὐ τὸν Διόνυσον ἐπάλουν μό-

πίστεως, ὡς ἔστι τε ἡ ψυχὴ ἀποθανόντος τοῦ ἀνθρώπου καί τινα δύναμιν ἔχει καὶ φρόνησιν. Ἀληθῆ, ἔφη, λέγεις, ὁ Σωκράτης, ὦ Κέβης. ἀλλὰ τί δὴ ποιῶμεν; ἢ περὶ αὐτῶν τούτων βούλει διαμυθολογῶμεν, εἴτε εἰκὸς οὕτως ἔχειν εἴτε μή; Ἐγωγ' οὖν, ἔφη ὁ Κέβης, ἡδέως ἂν ἀκούσαιμι ἥν τινα δόξαν ἔχεις περὶ αὐτῶν. Οὔκουν γ' ἂν οἶμαι, ἦ δ' ὃς ὁ Σωκράτης, εἰπεῖν τινὰ νῦν ἀκούσαντα, οὐδ' εἰ κωμῳδοποιὸς εἴη, ὡς ἀδολεσχῶ καὶ οὐ περὶ προσηκόντων τοὺς λόγους ποιοῦμαι. εἰ οὖν δοκεῖ, χρὴ διασκοπεῖσθαι.

μυθία signifying, not merely consolation, but, as Wyttenbach justly observes, an assurance of the judgment, when it hesitates to admit an apparently improbable position.

Ὡς ἔστι τε ἡ ψυχή, κ. τ. λ.] This sentence contains the Platonic doctrine of the immortality of the soul. — Τινὰ δύναμιν ἔχει καὶ φρόνησιν; Olympiod. Τινὰ ζωὴν ἔχει καὶ γνωστικὴν ἐπιστήμην. ἡ μὲν γὰρ δύναμις τὴν ζωτικὴν ἐνέργειαν δηλοῖ, ἡ δὲ φρόνησις τὴν ἐπιστημονικήν. Stall.

Διαμυθολογῶμεν.] Olympiod. Τί οὖν μῦθος τὰ λεγόμενα ὑπὸ Σωκράτους; ἢ τὴν ἐξ ἑπομένου πίστιν μυθολογίαν ἐκάλεσεν ὁ Σωκράτης, οἷός ἐστιν ὁ προκείμενος λόγος; κατασκευάζει γὰρ τὴν μὲν ἀθανασίαν τῆς ψυχῆς, οὐκ ἐκ τῆς οὐσίας ὁρμώμενος, ἀλλ' ἐκ τινος ἑπομένου τοῦ μεταβάλλειν τὸν θάνατον καὶ τὴν ζωὴν εἰς ἄλληλα. ταύτην οὖν μυθολογίαν εἶπεν.

Ἦ δ' ὅς ὁ Σωκράτης.] Infr. c. 18. a med. ἦ δ' ὃς ὁ Σιμμίας. Cf. Æschyl. a. c. Th. 555. ἔστιν δὲ καὶ τῷδ' ὃν λέγως τὸν Ἀρκάδα, ἀνὴρ ἄκομπος.

Οὐδ' εἰ κωμῳδοποιὸς εἴη.] In allusion to Aristophanes, Amipsias; Diog. Laert. ii. 28; and Eupolis. Olympiod. τί βούλεται ἐνταῦθα τῷ Πλάτωνι ἡ μνήμη τῶν κωμῳδοποιῶν; ἢ τὸ λεγόμενον τοῦτό ἐστιν, ὅτι οὐ δώσω χώραν τοῖς κωμῳδοποιοῖς διαλοιδορεῖσθαί μοι· ὁ γὰο Εὔπολις φησι περὶ Σωκράτους, Τί δῆτ' ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχόν, Ὅς τ' ἄλλα μὲν πεφρόντικεν, Πόθεν δὲ κατάφαγεῖν ἔχοι, Τοῦτον κατημέληκεν. The common taunt, *τῆς ἀδολεσχίας περὶ τῶν μετεώρων*, which the vulgar threw out against Socrates and the philosophers in general, was taken up by the comic poets, and occurs in several instances throughout the writings of Plato, in many of which the expression is evidently repeated in sarcastic ridicule of the ignorance and folly by which its proper meaning was abused. Cratyl. c. 39. κινδυνεύουσι γοῦν—οἱ πρῶτοι τὰ ὀνόματα τιθέμενοι οὐ φαῦλοι εἶναι, ἀλλὰ μετεωρολόγοι τινὲς καὶ ἀδολέσχαι. Parmenid. c. 19. καλὴ μὲν οὖν καὶ θεία, εὖ ἴσθι, ἡ ὁρμή, ἣν ὁρμᾷς ἐπὶ τοὺς λόγους· ἕλκυσον δὲ σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκούσης ἀχρήστου εἶναι καὶ καλουμένης ὑπὸ τῶν πολλῶν ἀδολέσχίας, ἕως νέος εἶ· εἰ δὲ μή, σὲ διαφεύξεται ἡ ἀλήθεια. So in that celebrated passage, de Repub. xi. p. 488, where the true philosopher is compared to the pilot of a vessel, and the ignorant mob in a state, to its mutinous crew, Socrates says: τοιούτων δὴ [i. e. the mutiny on board,] περὶ τὰς ναῦς γιγνομένων, τὸν ὡς ἀληθῶς κυβερνητικὸν οὐκ ἠγῇ ἂν τῷ ὄντι μετεωροσκόπον τε καὶ ἀδολέσχην καὶ ἄχρηστόν σφισι καλεῖσθαι ὑπὸ τῶν ἐν ταῖς οὕτω κατεσκευασμέναις ναυσὶ πλωτήρων;—Οὐ δὴ οἶμαι δεῖσθαί σε ἐξεταζομένην τὴν εἰκόνα ἰδεῖν, ὅτι ταῖς πόλεσι πρὸς τοὺς ἀληθινοὺς φιλοσόφους τὴν διάθεσιν ἔοικεν. Cf. Aristoph. Nub. 1482. ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι, μηδέ μ' ἐπιτρίψῃς ἀλλὰ συγγνώμην ἔχε, ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ, &c. The term ἀδολεσχῆς,

§. 15. Σκεψώμεθα δ' αὐτὸ τῇδέ πῃ, εἴτε ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων εἴτε καὶ οὔ. παλαιὸς μὲν οὖν ἔστι τις λόγος, οὗτος

whence ἀδολεσχῶ supr., had been originally applied to those who undertook to explain the difficulties and obscurities of natural phenomena, without an adequate knowledge of the subject of which they professed themselves competent to treat; it was subsequently used in a commendatory sense, but continued to be employed in the former by those who could only vituperate the virtues they did not care to possess.

§. 15. Σκεψώμεθα.] Olympiod. Ὁ σκοπὸς τῷ προκειμένῳ λόγῳ δεῖξαι, οὐκ ἀθάνατον τὴν ψυχὴν, ἀλλ' ἐπιδιαμένουσαν χρόνον τινὰ μετὰ τὸν χωρισμὸν τοῦ σώματος, καὶ οὐ καθάπερ Ἰαμβλιχος οἴεται ἕκαστον λόγον δεικνῦναι τὴν ἀθανασίαν τῆς ψυχῆς.—οὐδὲ γὰρ ὁ ἐρωτῶν τοῦτο ἠρώτησε τὸ πρόβλημα, οὔτε ὁ ἀποκρινόμενος ἔδειξε τὴν ψυχὴν ἀθάνατον. ὁ μὲν γὰρ Κέβης ἠρώτησεν, εἰ δυνατὸν τὴν ψυχὴν χωρισθεῖσαν ἀπὸ τοῦ σώματος ἐπιδιαμένειν, καὶ μὴ δίκην πνεύματος διασκορπίζεσθαι. καὶ ὁ Σωκράτης δείκνυσιν ὅτι ἐπιδιαμένει χρόνον τινὰ μετὰ τὸν χωρισμὸν τοῦ σώματος, οὐ μὴν ὅτι καὶ ἀεί, ἔδειξε. Forst.

Αὐτὸ τῇδέ πῃ.] Αὐτὸ is explained by εἴτε ἄρα ἐν ᾅδ. and τῇδή πῃ refers to seqq. παλαιὸς μὲν οὖν, &c.— Heind.

Παλαιὸς μὲν — τις λόγος.] See Herodot. ii. c. 123. where the historian evidently refers to the doctrines of the Pythagoreans. How closely the preexistence of the soul was united with the idea of its immortality amongst the ancient philosophers, appears from the following passage in Cudworth. Intell. Syst. B. i. c. 1. s. 31. "It is also further evident, that this same principle which thus led the ancients to hold the soul's immortality, or its future permanence after death, must needs determine them likewise to maintain its προϋπαρξις, or *preexistence*, and consequently its μετενσωμάτωσις, or transmigration. For that which did preexist before the generation of any animal, and was then somewhere else, must needs transmigrate into the body of that animal where now it is. But, as for that other transmigration of human souls into the bodies of brutes, though it cannot be denied but that many of the ancients admitted it also, yet, Timæus Locrus, and divers others of the Pythagoreans, rejected it, any otherwise than as it might be taken for an allegorical description of that beastly transformation that is made of men's souls by vice.— Aristotle tells us again, agreeably to what was declared before, ὅτι μάλιστα φοβούμενοι διετέλησαν οἱ παλαιοὶ τὸ ἐκ μηδενὸς γίνεσθαι τι προϋπάρχοντος. *That the ancient philosophers were afraid of nothing more than this one thing, that anything should be made out of nothing preexistent.* And, therefore, they must needs conclude, that the souls of all animals preexisted before their generations. And indeed it is a thing very well known, that, according to the sense of philosophers, these two things were always included together in that one opinion of the soul's immortality, namely, *its pre-existence* as well as its *post-existence*. Neither was there any of the ancients, before Christianity, that held the soul's future permanency after death, who did not likewise assert its preexistence; they clearly perceiving, that if it were once granted that the soul was generated, it could never be proved but that it might also be corrupted. And, therefore, the assertors of the soul's immortality commonly began here; first to prove its pre-existence, proceeding thence, afterwards, to establish its permanency after death." Cf. Tertullian de Anima. xxiii. p. 275. "Illius (Platonis) est enim in Phædone, quod animæ hinc euntes sunt illuc, et inde huc." Olympiod in Fragm. Orph. p. 510. ed Herm. Ὀρφικός τε γὰρ καὶ Πυθαγόρειος ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις. in Menon. p. 81. B. καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν—φασὶ—τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνα-

οὖ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων. Καὶ εἰ τοῦθ' οὕτως ἔχει, πάλιν γίγνεσθαι ἐκ τῶν ἀποθανόντων τοὺς ζῶντας, ἄλλο τι εἶεν ἂν ἡμῶν αἱ ψυχαὶ ἐκεῖ; οὐ γὰρ ἄν που πάλιν ἐγίγνοντο μὴ οὖσαι, καὶ τοῦτο ἱκανὸν τεκμήριον τοῦ ταῦτ' εἶναι, εἰ τῷ ὄντι φανερὸν γένοιτο ὅτι οὐδαμόθεν ἄλλοθεν γίγνονται οἱ ζῶντες ἢ ἐκ τῶν τεθνεώτων. εἰ δὲ μή ἐστι τοῦτο, ἄλλου ἄν του δέοι λόγου. Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Μὴ τοίνυν κατ' ἀνθρώπων, ἦ δ' ὅς, σκόπει μόνον τοῦτο, εἰ βούλει ῥᾷον μαθεῖν, ἀλλὰ καὶ κατὰ ζώων πάντων καὶ φυτῶν, καὶ ξυλλήβδην ὅσα περ ἔχει γένεσιν, περὶ πάντων ἴδωμεν, ἆρ' οὐτωσὶ

τον καὶ τότε μὲν τελευτᾷν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δὲ οὐδέποτε, κ. τ. λ.] Plat. Epist. vii. 716. B. *πείθεσθαι δ' οὕτως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι.* Compare the following passages from Empedocles: Ἄλλο δέ σοι ἐρέω φύσις οὐδενός ἐστιν ἑκαστῳ Θνητῶν, οὐδέ τις οὐλομένη θανάτοιο γενέθλη (al. lect. τελεύτη) Ἀλλα μόνον μίξις τε διάλλαξίς τε μιγέντων Ἔστι, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν:—and again, Νήπιοι, οὐ γάρ σφιν ὀλιχόφρονες εἰσὶ μέριμναι, Οἳ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν, Ἔτοι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἀπάντη:—Οὐκ ἂν ἀνηρ τοιαῦτα σοφὸς φρεσὶ μαντεύσαιτο, Ὡς ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι, Τόφρα μὲν οὖν εἰσι, καὶ σφι πάρα δεινὰ καὶ ἐσθλα Πρὶν δὲ παγῆναι βροτοὶ, λυθέντες τ' οὐδὲν ἄρ' εἰσί. So Euripides likewise gives the sense of the ancient philosophers on this head. Clem. Alex. Strom. vi. p. 750: Θνήσκει δ' οὐδὲν τῶν γινομένων, Διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο Μόρφην ἑτέραν ἀπέδειξεν. "Agreeably whereunto," observes Cudworth, "Plato also tells us that it was παλαιὸς λόγος, *an ancient tradition*, or doctrine, before his time, τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονέναι, οὐδὲν ἧττον ἢ τοὺς τεθνεώτας ἐκ τῶν ζώντων. *That as well the living were made out of the dead, as the dead out of the living;* and that this was the constant circle of nature. Moreover, the same philosopher acquaints us, that some of those ancients were not without suspicion, that what is now called death, was to men, more properly, a nativity or birth into life, and what was called generation into life, was, comparatively, rather to be accounted a sinking into death; the former being the soul's ascent out of these gross terrestrial bodies, to a body more thin and subtile, and the latter its descent from a purer body to that which is more gross and terrestrial: Τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι καθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν." Intell. Syst. B. i. c. 1. 33.

Εἰ τοῦθ' οὕτως ἔχει, κ. τ. λ.] *And if this is indeed the case, namely, that the living are reproduced out of the dead, &c.* Stall.—Ἄλλο τι; see Apol. Socr. c. 12. init.

Μὴ οὖσαι.] i. e. εἰ μὴ ἦσαν: see Matthiæ Gr. s. 608. 5. *d.*

Τοῦ ταῦτ' εἶναι.] i. e. τοῦ τὰς ψυχὰς ἡμῶν ἐκεῖ εἶναι. Heind.

Κατ' ἀνθρώπων.] *With regard to mankind.* Matthiæ Gr. s. 581. *a.*

Κατὰ ζώων πάντων καὶ φυτῶν.] Olympiod. Τινὲς ἐκ τούτου ῥησιδίου ἁπατηθέντες, ᾠήθησαν τὸν Πλάτωνα πᾶσαν ψυχὴν ἀθανατίζειν.... ἄμεινον δὲ ὁ φιλόσοφος Ἀμμώνιος ἐξηγή-

γίγνεται ἅπαντα, οὐκ ἄλλοθεν ἢ ἐκ τῶν ἐναντίων τὰ ἐναντία, ὅσοις τυγχάνει ὂν τοιοῦτόν τι, οἷον τὸ καλὸν τῷ αἰσχρῷ ἐναντίον που καὶ δίκαιον ἀδίκῳ, καὶ ἄλλα δὴ μυρία οὕτως ἔχει. Τοῦτ' οὖν σκεψώμεθα, ἆρα ἀναγκαῖον ὅσοις ἔστι τι ἐναντίον, μηδαμόθεν ἄλλοθεν αὐτὸ γίγνεσθαι ἢ ἐκ τοῦ αὐτῷ ἐναντίου. οἷον ὅταν μεῖζόν τι γίγνηται, ἀνάγκη που ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι; Ναί. Οὐκοῦν κἂν ἔλαττον γίγνηται, ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; Ἔστιν, ἔφη, οὕτως. Καὶ μὴν ἐξ ἰσχυροτέρου γε τὸ ἀσθενέστερον καὶ ἐκ βραδυτέρου τὸ θᾶττον; Πάνυ γε. Τί δαί; ἄν τι χεῖρον γίγνηται, οὐκ ἐξ ἀμείνονος, καὶ ἐὰν δικαιότερον, ἐξ ἀδικωτέρου; Πῶς γὰρ οὔ; Ἱκανῶς οὖν, ἔφη, ἔχομεν τοῦτο, ὅτι πάντα οὕτω γίγνεται, ἐξ ἐναντίων τὰ ἐναντία πράγματα; Πάνυ γε. Τί δ' αὖ; ἔστι τι καὶ τοιόνδε ἐν αὐτοῖς οἷον μεταξὺ ἀμφοτέρων πάντων

σατο τὸ χωρίον τοῦτο, λέγων ὅτι τοῦτο φησι πρὸς τὸ ἐφεξῆς ἐπιχείρημα, τὸ κατασκεύαζον ὅτι τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα.

Ἰδωμεν.] *Videamus.* HEIND. Vulg. εἰδῶμεν, *sciamus;* incorrectly. WYTT.

Ἐκ τῶν ἐναντίων τὰ ἐναντία.] Added in explanation of οὑτωσὶ preced. Tr. *But—taking the whole in connexion, let us see, whether all things do not mutually originate in the following manner, that is, in no otherwise than the contrary out of the contrary.* STALL. Olympiod. Ὅτι γὰρ τὰ ἐναντία μεταβάλλει εἰς ἄλληλα, δείκνυσιν ἡ λέξις τριχόθεν. πρῶτον μὲν, ἐκ τῆς ἐπαγωγῆς. παρατίθεται γὰρ πολλὰ ἐναντία, ἃ δείκνυσι μεταβάλλοντα εἰς ἄλληλα. δεύτερον, ἐκ τῶν γενεσέων αὐτῶν καὶ τῶν ὁδῶν. εἰ γὰρ αἱ ὁδοὶ μεταβάλλουσιν εἰς ἄλληλας, οἷον ἡ λεύκανσις εἰς τὴν μέλανσιν, πολλῷ μᾶλλον καὶ τὰ τέλη μεταβάλλουσιν εἰς ἄλληλα, οἷον τὸ λευκὸν καὶ το μέλαν. τρίτον, ὅτι χωλεύοι ἡ φύσις, εἰ ἓν μὲν τῶν ἐναντίων μεταβάλλει εἰς τὸ ἄλλο, ἓν δὲ οὐ μεταβάλλει. καὶ τῷ χρόνῳ ἐπιλείποι θάτερον τῶν ἐναντίων, καὶ οὐδὲν ἐναντίον ἔσται, τὸ λοιπὸν μηδὲν ἔχον εἰς ὃ μεταβαλεῖ. This doctrine of the generation of contraries from contraries, according to Aristotle in Phys. i. c. 6. was held, in common, by nearly all the philosophers.

Τοῦτ' οὖν σκεψ. ἆρα ἀναγ.] *Let us consider this then, whether it be necessary, &c.*

Αὐτὸ γίγνεσθαι.] More accurately, αὐτῶν ἕκαστον γίγν. HEIND. But for a similar change from a plural to a singular, see sup. c. 7. init. αὐτός γε ἑαυτοῦ. *n.*

Ἱκανῶς οὖν—ἔχομεν τοῦτο.] *Are we sufficiently assured of this?*

Τι δ' αὖ; ἔστι, τ. κ. λ.] Olympiod. Ἐντεῦθεν τὸ δεύτερον ἐπιχείρημα, τὸ ἐκ τῶν ὁδῶν, ὅτι αἱ ὁδοὶ ἐναντίαι εἰσὶ καὶ μεταβάλλουσι εἰς ἀλλήλας, πολλῷ μᾶλλον καὶ τὰ τέλη. Socrates now proceeds to describe the passage between the two extremes, that is the progress of the change, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, and vice versa; whence the δύο γενέσεις, or two generations by which the contraries are

τῶν ἐναντίων δυοῖν ὄντοιν δύο γενέσεις, ἀπὸ μὲν τοῦ ἑτέρου ἐπὶ τὸ ἕτερον, ἀπὸ δ' αὖ τοῦ ἑτέρου πάλιν ἐπὶ τὸ ἕτερον; μείζονος μὲν γὰρ πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις καὶ καλοῦμεν οὕτω τὸ μὲν αὐξάνεσθαι, τὸ δὲ φθίνειν; Ναί, ἔφη. Οὐκοῦν καὶ διακρίνεσθαι καὶ συγκρίνεσθαι, καὶ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ πάντα οὕτω, κἂν εἰ μὴ χρώμεθα τοῖς ὀνόμασιν ἐνιαχοῦ, ἀλλ' ἔργῳ γοῦν πανταχοῦ οὕτως ἔχειν ἀναγκαῖον, γίγνεσθαί τε αὐτὰ ἐξ ἀλλήλων γένεσίν τε εἶναι ἑκατέρου εἰς ἄλληλα; Πάνυ γ', ἦ δ' ὅς.

§. 16. Τί οὖν; ἔφη, τῷ ζῆν ἔστι τι ἐναντίον, ὥς περ τῷ ἐγρηγορέναι τὸ καθεύδειν; Πάνυ μὲν οὖν, ἔφη. Τί; Τὸ τεθνάναι, ἔφη. Οὐκοῦν ἐξ ἀλλήλων τε γίγνεται ταῦτα, εἴ περ ἐναντία ἐστί, καὶ αἱ γενέσεις εἰσὶν αὐτοῖν μεταξὺ δύο δυοῖν ὄντοιν; Πῶς γὰρ οὔ; Τὴν μὲν τοίνυν ἑτέραν συζυγίαν ὧν νῦν δὴ ἔλεγον, ἐγώ σοι, ἔφη, ἐρῶ, ὁ Σωκράτης, καὶ αὐτὴν καὶ τὰς γενέσεις· σὺ δέ μοι τὴν ἑτέραν. λέγω δὲ τὸ μὲν καθεύδειν, τὸ δὲ ἐγρηγορέναι, καὶ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίγνεσθαι καὶ ἐκ τοῦ ἐγρηγορέναι τὸ καθεύδειν, καὶ τὰς γενέσεις αὐτοῖν τὴν μὲν καταδαρ-

eventually produced, and which must, of necessity, be two-fold, for as of all contraries there must be two extremes, *πάντων τῶν ἐναντίων δυοῖν ὄντοιν*, so there must be two *γενέσεις*, or stages of generation, from one to the other and back again. The principle of which is fully developed in the text.

Κἂν εἰ μὴ χρώμ. τοῖς ὀνόμ. ἐνιαχ.] There being, at times, no names by which these intermediate changes can be designated, does not interfere with the fact, that they do exist, and necessarily lead to the specified results.

Γίγνεσθαι—γένεσίν τε εἶναι.] Olympiod. Οὐκ ἀδολεσχεῖ ὁ Πλάτων, ἀλλὰ τὸ μὲν γίγνεσθαι αὐτὰς ἐξ ἀλλήλων περὶ τῶν ὁδῶν εἴρηται, τὸ δὲ γένεσιν εἶναι ἑκατέροις, περὶ τῶν τελῶν.

§. 16. Καὶ αἱ γενέσεις—δυοῖν ὄντοιν.] h. e. *et rationes quibus hæc gignuntur, duæ sunt duobus illis quasi interjectæ.* STALL. Upon the construction as supr., see Matthiæ Gr. s. 595. 3.

Ἑτέραν συζυγίαν.] Socrates proceeds to contrast two pair, or combinations of contraries, the one, *τὸ καθεύδειν*, and its opposite, *ἐγρηγορέναι*; the other, *τὸ ζῆν* and *τεθνάναι*, which are mutually analogous. GOTTL.—*Συζυγία, copulatio disjunctorum, par contrariorum.* WYTT. Cf. Columella de R. R. ii. 2. 2. "Recurrendum est igitur ad qualitatum inter se dissidentium quasi quasdam conjunctiones, quas Græci, *συζυγίας ἐναντιοτήτων*, nos *discordantium comparationes* tolerabiliter dixerimus."

Σὺ δέ μοι τὴν ἑτέραν.] Intell. *ἐρεῖς*.

θάνειν εἶναι, τὴν δὲ ἀνεγείρεσθαι. Ἱκανῶς σοι, ἔφη, ἢ οὔ; Πάνυ μὲν οὖν. Λέγε δή μοι καὶ σύ, ἔφη, οὕτω περὶ ζωῆς καὶ θανάτου. οὐκ ἐναντίον μὲν φῂς τῷ ζῆν τὸ τεθνάναι εἶναι; Ἔγωγε. Γίγνεσθαι δὲ ἐξ ἀλλήλων; Ναί. Ἐξ οὖν τοῦ ζῶντος τί τὸ γιγνόμενον; Τὸ τεθνηκός, ἔφη. Τί δαί, ἦ δ' ὅς, ἐκ τοῦ τεθνεῶτος; Ἀναγκαῖον, ἔφη, ὁμολογεῖν ὅτι τὸ ζῶν. Ἐκ τῶν τεθνεώτων ἄρα, ὦ Κέβης τὰ ζῶντά τε καὶ οἱ ζῶντες γίγνονται; Φαίνεται, ἔφη. Εἰσὶν ἄρα, ἔφη, αἱ ψυχαὶ ἡμῶν ἐν Ἅιδου. Ἔοικεν. Οὐκοῦν καὶ τοῖν γενεσέοιν τοῖν περὶ ταῦτα ἥ γ' ἑτέρα σαφὴς οὖσα τυγχάνει; τὸ γὰρ ἀποθνήσκειν σαφὲς δή που. ἢ οὔ; Πάνυ μέν οὖν, ἔφη. Πῶς οὖν, ἦ δ' ὅς, ποιήσομεν; οὐκ ἀνταποδώσομεν τὴν ἐναντίαν γένεσιν, ἀλλὰ ταύτῃ χωλὴ ἔσται ἡ φύσις; ἢ ἀνάγκη ἀποδοῦναι τῷ ἀποθνήσκειν ἐναντίαν τινὰ γένεσιν; Πάντως που, ἔφη. Τίνα ταύτην; Τὸ ἀναβιώσκεσθαι. Οὐκοῦν, ἦ δ' ὅς, εἴ περ ἔστι το ἀναβιώσκεσθαι, ἔκ τῶν τεθνεώτων ἂν εἴη γένεσις εἰς τοὺς ζῶντας αὕτη, τὸ ἀναβιώσκεσθαι; Πάνυ γε. Ὁμολογεῖται ἄρα ἡμῖν καὶ ταύτῃ τοὺς ζῶντας ἐκ τῶν τεθνεώτων γεγονεναι οὐδὲν ἧττον ἢ τοὺς τεθνεῶτας ἐκ τῶν ζώντων. τούτου δὲ ὄντος ἱκανόν που ἐδόκει τεκμήριον εἶναι ὅτι ἀναγκαῖον τὰς τῶν τεθνεώτων ψυχὰς εἶναί που, ὅθεν δὴ πάλιν γίγνεσθαι. Δοκεῖ μοι, ἔφη, ὦ Σώκρατες, ἐκ τῶν ὡμολογημένων ἀναγκαῖον οὕτως ἔχειν.

§. 17. Ἰδὲ τοίνυν, ἔφη, ὦ Κέβης, ὅτι οὐδ' ἀδί-

Τοῖν γενεσέοιν τοῖν.] With feminines in the dual, the article is often put in the masculine. Matthiæ Gr. s. 281. Cf. de Legg. x. p. 898. A. Τούτοιν δὴ τοῖν κινησέοιν τοῖν ἐν ἑνὶ φερομένοιν.

Χωλὴ ἔσται ἡ φύσις.] The term χωλὸς is elegantly applied to things which are imperfect or deficient in their proper proportions. Suid. in v. Χωλός. ἀντὶ τοῦ ἀτελὴς· περὶ ψυχῆς Πλάτων. Ἀλλ' εἰ ταύτῃ ἔσται χ. ἡ φ.

Ὅτι ἀναγκαῖον τὰς—ψυχὰς, κ. τ. λ.] The accusative, with the infinitive, is also used after particles which begin a protasis, and in construction with the relative; both in the *oratio obliqua*.—Matthiæ Gr. s. 538.

§. 17. Ἰδὲ τοίννν, κ. τ. λ.] Socrates proceeds to argue, that if the course of generation were direct instead of circu-

κως ὡμολογήκαμεν, ὡς ἐμοὶ δοκεῖ. εἰ γὰρ μὴ ἀεὶ ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις γιγνόμενα, ὥσπερεὶ κύκλῳ περιιόντα, ἀλλ' εὐθεία τις εἴη ἡ γένεσις ἐκ τοῦ ἑτέρου μόνον εἰς τὸ καταντικρὺ καὶ μὴ ἀνακάμπτοι πάλιν ἐπὶ τὸ ἕτερον μηδὲ καμπὴν ποιοῖτο, οἶσθ' ὅτι πάντα τελευτῶντα τὸ αὐτὸ σχῆμα ἂν σχοίη καὶ τὸ αὐτὸ πάθος ἂν πάθοι καὶ παύσαιτο γιγνόμενα; Πῶς λέγεις; ἔφη. Οὐδὲν χαλεπόν, ἦ δ' ὅς, ἐννοῆσαι ἃ λέγω· ἀλλ' οἷον εἰ τὸ καταδαρθάνειν μεν εἴη, τὸ δ' ἀνεγείρεσθαι μὴ ἀνταποδιδοίη γιγνόμενον ἐκ

lar, that is, if all living were to proceed straight on to death, nor return again, by a winding in the route, to life—all nature gradually should sink in death, and remain buried in an equally profound repose as that of the fabled Endymion. But there is in nature a restorative principle, whereby life is reproduced from death, the living from the dead. Hence is inferred a future state of existence, of which the character depends upon the conduct of those to whom, according as they are good or evil, it must either prove a blessing or a curse. Cf. V. Cousin: " Les contraires naissent des contraires : la mort, de la vie ; et la vie de la mort. L'existence est un cercle actif et fécond dont les extrémités opposées reviennent sur elles-mêmes, rentrent sans cesse les unes dans les autres, par deux mouvemens contraires qui les séparent à la fois et qui les rapprochent, composent pour décomposer, décomposent pour composer encore..... Et il faut bien qu'il en soit ainsi, car si la vie engendrait la mort sans que la mort à son tour reproduisît la vie, la mort aurait bientôt aboli tout etre vivant, et les propositions harmonieuses de l'éternelle seraient altérées *Circulus æterni motus*.... La vie n'a donc rien à craindre de la mort, in l'ame de la dissolution de ses organes." Œuv. de Plat. tom. 1. 165.

Ὅτι οὐδ' ἀδίκως ὡμολογ.] *That we have not rashly or unadvisedly allowed, &c.*

Ἀνταποδιδοίη τὰ ἕτερα τοῖς ἑτέροις.] i. e. *If matters did not mutually alternate with, or correspond to each other, as if revolving in a circle, &c.*— Upon the intransitive use of the verb in this passage, see Viger de Idiotism. cap. v. s. 1. v. 4. Κύκλῳ περιϊόντα— Cf. in Tim. τοῦτο ἅμα πᾶν οἷον τροχου περιαγομένου γίγνεται. Analogous to the above was the opinion of Heraclitus, and some other philosophers, that the rational principle which animated the eternal fire, or etherial exhalation, ἀναθυμίασις, from which all things in nature were produced, pervaded the universe, and formed, preserved, and destroyed, in perpetual succession, the visible world. Enfield. Philos. B. ii. c. 14.—Μὴ ἀνάκαμποι πάλιν, κ. τ. λ. A metaphor taken from the stadium, in which καμπὴ or καμπτὴρ was applied not only to the goal itself, but to the act of turning round it to return to the place of starting. It is elegantly used, as supr., by Plato, in explaining this doctrine of contraries, for which the Stoics, also, and Ænesidemus, the sceptic, of Gnossus in Crete, were indebted to Heraclitus. — Ἀνακάμπτειν signifies merely *to round the goal*, but καμπὴν ποιεῖσθαι, *to return again to the place of starting.* This was called the ἑρόμος ὁ ἐν καμπῇ, and included the race to the καμπτὴρ and back; but sometimes the race ended at the καμπτὴρ, and was then called ἑρόμος ἀκάμπιος, ἁπλοῦς or εὐθύς.

Οἶσθ' ὅτι.] Commonly inserted παρενθέτως by the Greek writers. Cf. de Rep. iii. p. 393. D. Εἰ γὰρ Ὅμηρος— μὴ ὡς Χρύσης γενόμενος ἔλεγεν, ἀλλ' ἔτι ὡς Ὅμηρος, οἶσθ' ὅτι οὐκ ἂν μίμησις ἦν.—Τελευτῶντα, *in fine*, or *at*

τοῦ καθεύδοντος, οἶσθ' ὅτι τελευτῶντα πάντ' ἂν λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο, διὰ τὸ καὶ τἆλλα πάντα ταὐτὸν ἐκείνῳ πεπονθέναι, καθεύδειν· κἂν εἰ ξυγκρίνοιτο μὲν πάντα, διακρίνοιτο δὲ μή, ταχὺ ἂν τὸ τοῦ Ἀναξαγόρου γεγονὸς εἴη, ὁμοῦ πάντα χρήματα. Ὡσαύτως δέ, ὦ φιλε

length. Matthiæ Gr. s. 557. 4.

Ὅθεν δὲ ἀπελίπομεν, ἐπανελθωμεν.] i. e. *To return from our digression.* Cf. Demosth. de Coron. p. 341. B. ἐπανελθεῖν οὖν, ὅθεν εἰς ταῦτα ἐξέβην βούλομαι. Cic. de Nat. Deor. iii. 23. "Sed eo jam, unde huc digressi sumus, revertamur."—Εἴ σοι ἡδομένῳ ἐστίν, *si hoc tibi lubenti accidit, si tibi placet.* WYTT. The verbs εἶναι and γίγνεσθαι are often accompanied by a participle of the verb "to wish," &c. in the dative; in which case the participle only, as the leading idea, is translated by the finite verb. Matthiæ Gr. s. 388. *e.* Cf. Cratyl. 1. εἴ σοι βουλομένῳ ἐστὶν, h. e. εἰ βούλει. Hom. Iliad. ξ'. 108. ἐμοὶ δέ κεν ἀσμένῳ εἴη, h. e. ἀσμένως ἔχω, interp. Eustath. This form was adopted by the Latins from the Greeks. Macrob. Saturn. vi. 1. vi. 6. vii. 13. "Si volentibus vobis erit, &c. Sallust. Jugurth. 100. "Uti militibus exæquatus cum imperatore labos volentibus esset." Tacit. Agr. 18. "Quibus bellum volentibus erat."—Πῶς γὰρ οὐ μέλλει. The infinitive is often wanting to μέλλει, when it can be easily supplied from the context or otherwise. Matthiæ Gr. s. 498. *d.*

§. 25. Οὔκουν τοιόνδε τι, κ. τ. λ.] Socrates now proceeds to meet the objection against the immortality of the soul, that it perishes upon the decease of the body, in consequence of the disunion of the particles of which it is composed, by considering what the nature of the soul is, and proving from hence that as it does not consist of parts, but is in itself simple and uniform, it cannot be affected like what is compound, and consequently changeable, from the different affections of its component parts. Into these two classes all things are divided, simple and compound, between which there is this further distinction, that the latter are concerned with, and discerned by the senses, while the former is rendered intelligible by the mind alone. That the mind is itself simple, there is no reason to doubt; it is independent of the senses, and by the ex-

ἡμᾶς ἀνερέσθαι ἑαυτούς, τῷ ποίῳ τινὶ ἄρα προσήκει τοῦτο τὸ πάθος πάσχειν, τὸ διασκεδάννυσθαι, καὶ ὑπὲρ τοῦ ποίου τινὸς δεδιέναι μὴ πάθῃ αὐτό, καὶ τῷ ποίῳ τινὶ οὔ; καὶ μετὰ τοῦτο αὖ ἐπισκέψασθαι πότερον ψυχή ἐστι, καὶ ἐκ τούτων θαῤῥεῖν ἢ δεδιέναι ὑπὲρ τῆς ἡμετέρας ψυχῆς; Ἀληθῆ, εφη, λέγεις. Ἆρ' οὖν τῷ μὲν ξυντεθέντι τε καὶ ξυνθέτῳ ὄντι φύσει προσήκει

ercise of its own faculties comes to know that it exists. It is also independent of the changes of the body, and retains its power of thought, whatever injury the body may sustain by the loss of any of its customary media of sensation. The mind receives impressions of what is simple and immutable, while the body is incapable of any knowledge further than of what is transient and liable to change. Socrates presses, again, the perception of truth, to which the mind can best attain when collected within itself, apart from the body; when it is conversant with, and merges into a nature similar to its own, and abides in the contemplation of unmixed and unerring truth. The mind commands and the body obeys, the one fulfils the office of a master, and the other of a slave; hence it will appear which part of man is the more noble and divine. But as the attributes of contraries are also contrary, it follows that as the body, consisting of parts, is destroyed by their disunion in death, so the mind, which is one and simple, continues to exist, and departs into some sacred and unseen spot, to hold communion with its God; the destiny, sooner or later, of those who never lived in subjection to the body and its appetites. Those who have done so and are polluted in consequence, seek, after death, for other bodies which they are again obliged to animate.

Τῷ ποίῳ τινὶ ἄρα προσ.] h. e. ποῖόν ἄρα ἐστὶν ἐκεῖνο, ᾧ προσ. v. Hermann. ad Viger. p. 705. STALL. The question Socrates proposes to consider is, first, what it is that is liable to this affection of being dissolved and destroyed; for what reason, (*ὑπὲρ τοῦ ποίου τινὸς,*) it should apprehend this result, and what it was that was not thus liable either to the affection or the dread of it, (*καὶ τῷ ποίῳ τινὶ οὔ*); then to consider which of the two the soul is, and to found our hopes or fears on the result. Hence will appear the correctness of Heindorf's emendation, *τῷ ποίῳ τινὶ οὔ* for *τῷ ποίῳ τινὶ*, which without the negative is but a useless repetition. Wyttenbach and Cornarius would reject this member of the sentence, but without sufficient reason, as is evident from the sense of the passage as supr.

Τῷ μὲν ξυντεθ.—καὶ ξυνθέτῳ.] i. e. *Ei quod componendo factum est, et quod natura sua compositum est.* WYTT. — *ξυντεθὲν*, signifying a compound which was not always so, but the result of art, and *ξύνθετον ὂν φύσει*, a compound which was always, and naturally so; a distinction to which Plotinus seems to refer, Ennead. v. ix. 3. p. 557. A. *ὁρῶμεν δὴ τὰ λεγόμενα εἶναι πάντα σύνθετα, καὶ ἁπλοῦν οὐδὲ ἕν, ἅτε τέχνη ἐργάζεται ἕκαστα ἅτε φύσει.* By some *ξυνθέτον* is taken in the sense of the verbals *ὁρατὸν, id quod potest videri, visibile; ἀκουστὸν, quod audiri potest; αἰσθητὸν, sensibile, &c.* whence they interpret the passage of *that which is actually compounded* (*ξυντέθεν, compositum*) *and that which is liable to be so,* (*ξυνθέτον quod componi potest.*) But the former interpretation is in every way preferable. — Ταύτῃ ᾗ περ ξυνετέθη, that is, that the whole should be divided into its component parts, preserving these parts distinct, as in the case of the division of body into the four elements of which it consists, from a separation of the links by which they are combined. Plotinus refers to this; Ennead. iv. 7. 12. p. 466. B. *πᾶν τε τὸ λυόμενον σύνθεσιν εἰληφὸς, ταύτῃ διαλύεσθαι πέφυκεν, ᾗ συνετέθη· ψυχὴ δὲ μία καὶ ἁπλῆ ἐνέργεια οὖσα ἐν τῷ ζῆν φύσις* (f. *φύσει ἐστί*)· *οὐ τοίνυν ταύτῃ φθα-*

τοῦτο πάσχειν διαιρεθῆναι ταύτῃ ᾗ περ ξυνετέθη· εἰ δέ τι τυγχάνει ὂν ἀξύνθετον, τούτῳ μόνῳ προσήκει μὴ πάσχειν ταῦτα, εἴ πέρ τῳ ἄλλῳ; Δοκεῖ μοι, ἔφη, οὕτως ἔχειν, ὁ Κέβης. Οὐκοῦν ἅ περ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχει, ταῦτα μάλιστα εἰκὸς εἶναι τὰ ἀξύνθετα, τὰ δὲ ἄλλοτ' ἄλλως καὶ μηδέποτε κατὰ ταὐτά, ταῦτα δὲ εἶναι τὰ ξύνθετα; Ἔμοιγε δοκεῖ οὕτως. Ἴωμεν δή, ἔφη, ἐπὶ ταὐτὰ ἐφ' ἅ περ ἐν τῷ ἔμπροσθεν λόγῳ. αὐτὴ ἡ οὐσία ἧς λόγον δίδομεν τοῦ εἶναι καὶ ἐρωτῶντες καὶ ἀποκρινόμενοι, πότερον ὡσαύτως ἀεὶ ἔχει καὶ κατὰ ταὐτὰ ἢ ἄλλοτ' ἄλλως; αὐτὸ τὸ ἴσον, αὐτὸ τὸ καλόν, αὐτὸ ἕκαστον ὃ ἔστι, τὸ ὄν, μή ποτε μεταβολὴν καὶ ἠντινοῦν ἐνδέχεται; ἢ ἀεὶ αὐτῶν ἕκαστον ὃ ἔστι μονοειδὲς ὂν αὐτὸ καθ' αὑτό, ὡσαύτως καὶ κατὰ

ρήσεται. To the body, according to Plotinus, belongs multiplicity, divisible with reference to space. The soul is an essence devoid of extent, immaterial and simple in its nature; without body, or with a body which has two natures, the superior one indivisible; the inferior one divisible. The metaphysical arguments for the immateriality and immortality of the soul, have been ably stated by Plotinus, (born A. D. 205, at Lycopolis, in Egypt,) in his Six Enneades, a collection of his various scattered treatises by Porphyry. Porphyr. Vit. Plot. c. 6. 24. Tennem. Man. Phil. s. 203. sqq.

Ἃ περ ἀεὶ κατὰ ταὐτὰ—ἔχει.] So in Parmenid. p. 152. Οἷόν τε, τὸ ἔχον πως, μὴ ἔχειν οὕτω, μὴ μεταβάλλον ἐκ ταύτης τῆς ἕξεως; οὐκ οἷόντε. πᾶν ἄρα τὸ τοιοῦτον, μεταβολὴν σημαίνει, ὃ ἂν οὕτω τε καὶ μὴ οὕτως ἔχῃ. Cf. Apul. de Dogm. Plat. p. 252. "Τὰς οὐσίας, quas essentias dicimus, duas esse ait: per quas cuncta gignantur. Sed illa, quæ mentis oculis comprehenditur, semper et eodem modo et sui par, et sui similis invenitur, ut quæ vere sit." (ὅ ἐστι τὸ ὄν) It is to be observed, that the tenor of this passage is consistent rather with the Pythagorean than the Socratic school. Bruck. Hist. Phil. i. p. 696. GOTTL. For κατὰ ταὐτὰ Wyttenbuch proposes κ. τὰ αὐτὰ, and adduces numerous passages in support of its constant application to ideas which are constant and uniform, as also to immutable natures and essences. de Legg. vii. p. 631. A.—ταχθὲν μὲν γὰρ αὐτὸ καὶ μετασχὸν τοῦ τὰ αὐτὰ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ τοὺς αὐτοὺς παίζειν, etc.

Τὰ δὲ ἄλλοτ' ἄλλως.] Sc. ἔχοντα. Heindorf proposes ἃ δ' ἄλλοτ' ἄλλως.—Ταῦτα δὲ,—When a proposition beginning with the relative precedes, and another with the demonstrative follows, δὲ is sometimes repeated; (Matthiæ Gr. s. 622. 5.) in order, as Buttmann observes, to increase the force of the opposition between the two members of the sentence when divided into the protasis and apodosis. Excurs. xii. ad Demosthen. Or. Midian. p. 147. sqq.

Ἡ οὐσία, ἧς λόγ. δίδ. τοῦ εἶναι] *The essence, with respect to which we give the definition that* IT IS.—See Matthiæ Gr. s. 540. *Obs.* 2.—λόγον, i. q. ὁρισμόν, as frequently elsewhere. Cf. c. 20. supr. οἷς ἐπισφαγιζόμεθα τοῦτο, ὃ ἔστι.

Τὸ ὄν] Added merely in explanation of ὃ ἔστι preced.

Μονοειδὲς.] *Simple, uniform*; i. e. that which contains nothing foreign to or unlike itself. V. c. 28. infr. a med. Cic. Acad. i. 8. "Earum qualitatum sunt

ταὐτὰ ἔχει καὶ οὐδέποτε οὐδαμῇ οὐδαμῶς ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται; Ὡσαύτως, ἔφη, ἀνάγκη, ὁ Κέβης, καὶ κατὰ ταὐτὰ ἔχειν, ὦ Σώκρατες. Τί δὲ τῶν πολλῶν καλῶν, οἷον ἀνθρώπων ἢ ἵππων ἢ ἱματίων ἢ ἄλλων ὡντινωνοῦν τοιούτων, ἢ ἴσων ἢ καλῶν ἢ πάντων τῶν ἐκείνοις ὁμωνύμων; ἆρα κατὰ ταὐτὰ ἔχει, ἢ πᾶν τοὐναντίον ἐκείνοις οὔτε αὐτὰ αὐτοῖς οὔτε ἀλλήλοις οὐδέποτε ὡς ἔπος εἰπεῖν οὐδαμῶς κατὰ ταὐτά ἐστιν; Οὔτως αὖ, ἔφη, ταῦτα, ὁ Κέβης· οὐδέποτε ὡσαύτως ἔχει. Οὐκοῦν τούτων μὲν κἂν ἅψαιο κἂν ἴδοις κἂν ταῖς ἄλλαις αἰσθήσεσιν αἴσθοιο, τῶν δὲ κατὰ ταὐτὰ ἐχόντων οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιο ἢ τῷ τῆς διανοίας λογισμῷ, ἀλλ' ἔστιν ἀειδῆ τὰ τοιαῦτα καὶ οὐχ ὁρᾶται.

§. 26. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Θῶμεν οὖν βούλει, ἔφη, δύο εἴδη τῶν ὄντων, τὸ μὲν ὁρατόν,

aliæ principes, aliæ ex iis ortæ: principes sunt uniusmodi et implices. Itaque aer et ignis et aqua et terra prima sunt." V. Ernest. Clav. Cic. V. *Simplex.* Whence Virgil, vi. 747. calls the mind, "Ætherium sensum atque aurai simplicis ignem." h. e. *ἀξύνθετον*, having been cleansed of its pollution. The term is applied to different subjects: in Tim. p. 59. B. gold is called *μονοειδὲς γένος*: to a rock or stone. Porphyr. Ant. Nymph. p. 310. *τὰ ἄντρα ὑπὸ πέτρας περιεχόμενα μονοειδοῦς*, etc.—*Αὐτὸ καθ' αὑτό*,—this is to be understood of identity, as *ὡσαύτως καὶ κατὰ ταὐτὰ* of permanence.

Οὐδέποτε οὐδαμῇ οὐδαμῶς.] Plato not unfrequently uses this strengthening of the negative by a repetition of its compounds. Cf. de Legg. xii. p. 951. C. *οὐ πρέπον ἐν εὐνόμῳ πόλει γίγνεσθαι τοιοῦτον οὐδὲν οὐδαμῇ οὐδαμῶς.* Timæ. p. 50. C. *ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς.* Sophist. p. 162. F. — p. 251. E. *μηδενὶ μηδὲν μηδεμίαν δύναμιν ἔχειν κοινωνίας εἰς μηδέν.* It was not unusual also with the tragic and other writers amongst the Greeks. Eurip. Cycl. 120. *Νομάδες· ἀκούει δ' οὐδεὶς οὐδὲν οὐδενός.* It is remarked that in such cases the letter *δ* is constantly repeated, and the letter *π* in affirmatives. FAEHSE.

Τῶν πολλῶν καλῶν.] The genitive absolute, serving to point out the object of the following proposition. Matthiæ Gr. s. 342.

Πᾶν τοὐναντίον ἐκείνοις.] *Completely an opposite case to the former; τοὐναντίον* being put absolutely.

Οὕτως αὖ, ἔφη, ταῦτα.] *Sic contra, inquit, hæc.* WYTT.—*αὖ* in opposition having usually the sense of *contra.*

Ὅτῳ — ἐπιλάβοιο.] See Matthiæ Gr. s. 330.

Τῷ τῆς διανοίας λογισμῷ.] i. e. *reflection;* according to Plato, *διάνοια* is a mean between *νοῦς*, which is engaged in what is abstract and intelligible, and *δόξα* which regards the sensible and concrete, whence it is concerned with both, as the progressive state from the sensible to the intelligible by which the latter becomes certainly known.

§. 26. *Θῶμεν οὖν βούλει κ. τ. λ.*] Olymp. *Διαρεῖ καὶ τὴν ἡμετέραν σύστασιν εἰς ψυχὴν καὶ σῶμα, καὶ ζητεῖ τί μᾶλλον ἔοικε τοῖς ἀδιαλύτοις, πότερον ἡ ψυχὴ ἢ τὸ σῶμα, καὶ κατασκευάζει ὅτι ἡ ψυχὴ μᾶλλον ἔοικε τοῖς*

τὸ δὲ ἀειδές; Θῶμεν, ἔφη. Καὶ τὸ μὲν ἀειδὲς ἀεὶ κατὰ ταὐτὰ ἔχον, τὸ δὲ ὁρατὸν μηδέποτε κατὰ ταὐτά; Καὶ τοῦτο, ἔφη, θῶμεν. Φέρε δή, ἦ δ' ὅς, ἄλλο τι ἡμῶν αὐτῶν τὸ μὲν σῶμά ἐστι, τὸ δὲ ψυχή; Οὐδὲν ἄλλο, ἔφη. Ποτέρῳ οὖν ὁμοιότερον τῷ εἴδει φαῖμεν ἂν εἶναι καὶ ξυγγενέστερον τὸ σῶμα; Παντί, ἔφη, τοῦτό γε δῆλον ὅτι τῷ ὁρατῷ. Τί δὲ ἡ ψυχή; ὁρατὸν ἢ ἀειδές; Οὐχ ὑπ' ἀνθρώπων γε, ὦ Σώκρατες, ἔφη. Ἀλλὰ μὴν ἡμεῖς γε τὰ ὁρατὰ καὶ τὰ μὴ τῇ τῶν ἀνθρώπων φύσει ἐλέγομεν. ἢ ἄλλῃ τινὶ οἴει; Τῇ τῶν ἀνθρώπων. Τί οὖν περὶ ψυχῆς λέγομεν; ὁρατὸν εἶναι ἢ οὐχ ὁρατόν; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα; Ναί. Ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ; Πᾶσα ἀνάγκη, ὦ Σώκρατες.

§. 27. Οὐκοῦν καὶ τόδε πάλαι λέγομεν, ὅτι ἡ ψυχὴ ὅταν μὲν τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ἢ διὰ τοῦ ὁρᾶν ἢ διὰ τοῦ ἀκούειν ἢ δι' ἄλλης τινὸς αἰσθήσεως—τοῦτο γὰρ ἔστι τὸ διὰ τοῦ σώματος, τὸ δι' αἰσθήσεως σκοπεῖν τι—, τότε μὲν ἕλκεται ὑπὸ

ἀδιαλύτοις διὰ τριῶν ἐπιχειρημάτων, ἐκ τοῦ ἀοράτου αὐτῆς, καὶ ἐκ τοῦ διανοητικοῦ αὐτῆς, καὶ ἐκ τοῦ δεσπόζειν τοῦ σώματος. See Matthiæ Gr. s. 516. 3.

Ἄλλο τι ἡμῶν αὐτῶν κ. τ. λ.] i. e. *Is any other the case than that one part of ourselves consists of body and the other of soul?* V. Viger. de Idiotism. c. iii. s. q. r. 8. Matthiæ Gr. s. 487. 9.—ἡμῶν αὐτῶν depending upon τὸ seq.

Οὐχ ὑπ' ἀνθρώπων γε.] *Not by mankind at least.* Intell. ὁρᾶται (ὁρατόν ἐστιν.)

Ἀλλὰ μὴν ἡμεῖς κ. τ. λ.] *But we indeed were speaking of what was visible and what invisible according to the nature* (i. e. the capabilities) *of man.*—ὁρατὰ—ἐλέγομεν, i. q. περὶ τῶν ὁρατῶν ἐλέγ. Cf. Apol. Socr. c. 9. Καὶ φαίνεται τουτ' οὐ λέγειν. — τῇ τῶν ἀνθρώπων φύσει, an elegant periphrasis for τοῖς ἀνθρώποις.

Οὐχ ὁρατόν.] *Quod cerni nequit—ἀειδὲς ἄρα, quod speciem formamve non habet.* HEIND.

§. 27. Καὶ τόδε πάλαι λέγομεν.] Cf. c. 10. supr. et seq. Πάλαι, according to Fischer, is used here, as occasionally elsewhere, like the *dudum* of the Latins, to signify *just now, a short time since.* Phot. Lex. v. Πάλαι· τὸ ἤδη λέγειν εἰώθασι Πάλαι: Eustath. ad Il. θ'. p. 702. Phavor. in. voc.—"Οταν μὲν τῷ σώματι προσχρῆται; Cf. Laert. iii. 12. φησὶν ὁ Ἄλκιμος καὶ ταυτί· φασὶν οἱ σοφοὶ, τὴν ψυχὴν, τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην.

Τοῦτο γὰρ ἔστι, κ. τ. λ.] In this passage τὸ διὰ τοῦ σ. σκοπεῖν is the subject, and τὸ δι' αἰσθ. σκ. the predi-

τοῦ σώματος εἰς τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη; Πάνυ γε. Ὅταν δέ γε αὐτὴ καθ' αὑτὴν σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ ὡσαύτως ἔχον, καὶ ὡς συγγενὴς οὖσα αὐτοῦ ἀεὶ μετ' ἐκείνου τε γίγνεται, ὅταν περ αὐτὴ καθ' αὑτὴν γένηται καὶ ἐξῇ αὐτῇ, καὶ πέπαυταί τε τοῦ πλάνου καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη; καὶ τοῦτο αὐτῆς τὸ πάθημα φρόνησις κέκληται; Παντάπασιν, ἔφη, καλῶς καὶ ἀληθῆ λέγεις, ὦ Σώκρατες. Ποτέρῳ οὖν αὖ σοι δοκεῖ τῷ εἴδει καὶ ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν νῦν λεγομένων ψυχὴ ὁμοιότερον εἶναι καὶ ξυγγενέστερον; Πᾶς ἂν ἔμοιγε δοκεῖ, ἦ δ' ὅς, ξυγχωρῆσαι, ὦ Σώκρατες, ἐκ ταύτης τῆς μεθόδου, καὶ ὁ δυσμαθέστατος, ὅτι ὅλῳ καὶ παντὶ ὁμοιότερόν ἐστι ψυχὴ τῷ ἀεὶ ὡσαύτως ἔχοντι μᾶλλον ἢ τῷ μή. Τί δὲ τὸ σῶμα; Τῷ ἑτέρῳ.

§. 28. Ὅρα δὲ καὶ τῇδε, ὅτι ἐπειδὰν ἐν τῷ αὐτῷ ὦσι ψυχὴ καὶ σῶμα, τῷ μὲν δουλεύειν καὶ ἄρχεσθαι

cate introduced by τοῦτο. Matthiæ Gr. s. 540.

Τότε μὲν ἔλκεται.] Ἕλκεσθαι is used here of the soul, to signify the unwillingness with which it is forced into the consideration of the corporeal and sensible.

Ἰλιγγιᾷ.] *Is affected with dizziness. becomes dizzy* or *perplexed. Vertigine correptus rotatur et circumagitur.* STALL. v. Pierson. ad Moer. p. 196. sq. Lennep. ad Phalar. p. 35—38. Cf. Macrob. Somn. Scip. i. 12. "hoc est quod Plato notavit in Phædone: animam in corpus trahi nova ebrietate trepidantem: volens novum potum materialis alluvionis intelligi, quo delibuta et gravata deducitur."

Τοιούτων.] Sc. Πλανωμένων καὶ ἐν ταραχῇ ὄντων.

Τὸ πάθημα φρόνησις κέκληται.] Olympiodorus objects to the application of πάθημα to φρόνησις. (As in Xenoph. Cyrop. iii. 1. 10. πάθημα ἄρα σὺ λέγεις τῆς ψυχῆς εἶναι τὴν σωφροσύνην, ὥσπερ λύπην οὐμάθημα) upon which Wyttenbach observes: "Ratio aute oculos in modo dictis: πέπαυταί τοῦ πλάνου, κ. τ. λ. indeque et sensu quietis et perceptione veritatis suaviter afficitur et bene patitur, εὐπαθείᾳ fruitur, εὐπαθεῖ." So in Phædr. p. 345. B.—ἰδοῦσα διὰ χρόνου τὸ ὄν, ἀγαπᾷ τε καὶ θεωροῦσα τἀληθῆ τρέφεται καὶ εὐπαθεῖ.

Καλῶς καὶ ἀληθῆ.] Cf. Terent. Adelph. iv. 3. 18. "Et recte et verum dicis."

Ἐκ ταύτης τῆς μεθόδου.] *From this investigation.*—Ὅλῳ καὶ παντὶ, a proverbial form; *in all and every*, i. e. *completely, altogether.* Upon the addition of μᾶλλον to the comparative, see Matthiæ Gr. s. 458. So with the Latins, *magis certius, magis dulcius, magis mollior, &c.* STALL.

ἡ φύσις προστάττει, τῇ δὲ ἄρχειν καὶ δεσπόζειν· καὶ κατὰ ταῦτα αὖ πότερόν σοι δοκεῖ ὅμοιον τῷ θείῳ εἶναι καὶ πότερον τῷ θνητῷ; ἢ οὐ δοκεῖ σοι τὸ μὲν θεῖον οἷον ἄρχειν τε καὶ ἡγεμονεύειν πεφυκέναι, τὸ δὲ θνητὸν ἄρχεσθαί τε καὶ δουλεύειν; Ἔμοιγε. Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικεν; Δῆλα δή, ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ τῷ θείῳ, τὸ δὲ σῶμα τῷ θνητῷ. Σκόπει δή, ἔφη, ὦ Κέβης, εἰ ἐκ πάντων τῶν εἰρημένων τάδε ἡμῖν ξυμβαίνει, τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχήν, τῷ δ' ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον αὖ εἶναι σῶμα. ἔχομέν τι παρὰ ταῦτα ἄλλο λέγειν, ὦ φίλε Κέβης, ὡς οὐχ οὕτως ἔχει; Οὐκ ἔχομεν.

§. 29. Τί οὖν; τούτων οὕτως ἐχόντων ἆρ' οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει, ψυχῇ δὲ αὖ τὸ παράπαν ἀδιαλύτῳ εἶναι ἢ ἐγγύς τι τούτου; Πῶς

§. 28. Τῷ μὲν δουλεύειν.] Albinus Doctrin. Plat. c. 25. p. 370. καὶ μὴν ἡγεμονεύει ἡ ψυχὴ φύσει· τὸ δὲ δὴ φύσει ἡγεμονικὸν τῷ θείῳ ἔοικεν.

Θεῖον οἷον ἄρχειν.] Cf. Somn. Scip. c. 8. "Deum te igitur scito esse; siquidem Deus est, qui viget, qui sentit, qui meminit, qui providet, qui tam regit et moderatur et movet id corpus cui præpositus est, quam hunc mundum ille princeps Deus: et ut mundum ex quadam parte mortalem ipse Deus æternus, sic fragile corpus animus sempiternus movet." Apul. de Dogm. Plat. p. 255. "animam—imperare et regere ea, quorum curam fuerit diligentiamque secuta."

Ξυμβαίνει.] h. e. *An ex iis, quæ disputata sunt, hoc consequatur.*—Stall. The verb συμβαίνειν is frequently used in a logical sense, to express a deduction from established premises. Cf. c. 41. a med. Αἰσθάνει οὖν—ὅτι ταῦτά σοι ξυμβαίνει λέγειν, &c. Aristot. Topic. viii. 22. θέντες γὰρ τὰ πλεῖστα, ἐπὶ τέλους τερθρεύονται, ὡς οὐ συμβαίνοντος ἐκ τῶν κειμένων· i. e. *quum plurima posuerunt, in fine argutantur, quasi non consequatur ex positis.* — Wytt.

Νοητῷ.] *Intelligible, intellectual*, i. e. not material, or falling under the senses. Donn. Gr. Lex. Proclus in Tim. i. p. 90. τὸ νοητόν ποτε μὲν φέρουσι κατὰ πάσης τῆς ἀειδοῦς καὶ ἀοράτου φύσεως, ὥσπερ ὅταν καὶ τὴν ψυχὴν νοητὴν εἶναι λέγωσιν· ὡς ἐν Φαίδωνι Σωκράτης.

Πολυειδεῖ.] *Multiform.*

§. 29. Ἀδιαλύτῳ.] Olympiod. Ἀδιαλυτόν ἐστιν, ὡς μὴ ἐκ μερῶν συγκείμενον, τὸ γὰρ διαλυόμενον εἰς οἰκεῖα μέρη διαλύεται. Cic. de Senect. c. 21. "Cum simplex—animi natura esset, neque haberet in se quidquam admistum dispar sui atque dissimile, non posse eum dividi: quod si non possit, non posse interire."

γὰρ οὔ; Ἐννοεῖς οὖν, ἔφη, ὅτι ἐπειδὰν ἀποθάνῃ ὁ ἄνθρωπος, τὸ μὲν ὁρατὸν αὐτοῦ, τὸ σῶμα, καὶ ἐν ὁρατῷ κείμενον, ὃ δὴ νεκρὸν καλοῦμεν, ᾧ προσήκει διαλύεσθαι καὶ διαπίπτειν καὶ διαπνεῖσθαι, οὐκ εὐθὺς τούτων οὐδὲν πέπονθεν ἀλλ' ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον, ἐὰν μέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ, καὶ πάνυ μάλα. συμπεσὸν γὰρ τὸ σῶμα καὶ ταριχευθέν, ὥς περ οἱ ἐν Αἰγύπτῳ ταριχευθέντες, ὀλίγου ὅλον μένει ἀμήχανον ὅσον χρόνον. ἔνια δὲ μέρη τοῦ σώματος, καὶ ἐὰν σαπῇ, ὀστᾶ τε καὶ νεῦρα καὶ τὰ τοιαῦτα πάντα, ὅμως ὡς ἔπος εἰπεῖν ἀθάνατά ἐστιν. ἢ οὔ; Ναί. Ἡ δὲ ψυχὴ ἄρα, τὸ ἀειδές, τὸ εἰς τοιοῦτον τόπον ἕτερον οἰχόμενον, γενναῖον καὶ καθαρὸν καὶ ἀειδῆ, εἰς Ἅιδου ὡς ἀληθῶς, παρὰ τὸν ἀγαθὸν καὶ φρόνιμον θεόν, οἷ, ἂν θεὸς ἐθέλῃ, αὐτίκα καὶ τῇ ἐμῇ ψυχῇ ἰτέον, αὕτη δὲ δὴ ἡμῖν ἡ τοιαύτη καὶ οὕτω πεφυκυῖα ἀπαλλαττομένη

Ἐπιεικῶς συχνὸν—χρόνον.] h. e. *Satis diu; a moderately long time.* — Stall. Cf. in Criton. c. 1. init. Ἐπιεικῶς πάλαι.

Ἐὰν μέν τις καὶ χαριέντως, κ. τ. λ.] The point of the present argument is to evince that if the body, whose inferiority, in all respects, to the soul is already conceded, does not disappear, is not dissolved and dispersed, at once, when death takes place, but continues to last, according as circumstances may admit or effect, it is then only reasonable to allow that the soul does not perish instantaneously at the moment of decease.— Stallbaum explains the passage as supr. (referring ἐν τοιαύτῃ ὥρᾳ to χαριέντως, as if the reading were ἐν χαριέσσῃ ὥρᾳ,) *St quidem quis et corpore florente mortuus fuerit et florente ætate;* and understands καὶ πάνυ μάλα as a confirmatory assertion of its truth. Χαριέντως and ὥρα, he further observes justly, are not applied merely to what is graceful and beautiful, but to the strong and healthy disposition of the frame, by which, in the prime of life, the qualities of grace and beauty are best developed. Dacier and Wyttenbach, both incorrectly, refer ὥρᾳ to the time of the year.

Συμπεσὸν.] *Having collapsed.* — Ταριχευθέν, *embalmed.* See Herodot. ii. 86. Cic. Tusc. i. 45. Cf. Lactant. vi. 12. 6. "Non enim simul interit, sed, anima discedente, integrum, per multos dies manet, et plerumque medicatum diutissime durat."

Καὶ ἐὰν σαπῇ.] Intell. τὸ ἄλλα σῶμα.

Ἡ δὲ ψυχὴ—τὸ ἀειδές.] Compare with this, Paul, Corinth. ii. 4. 18.—"for the things which are seen are temporal; but the things which are not seen are eternal." 5. 1. and Whitby in loc.

Εἰς τοιοῦτον τόπον ἕτερον.] *Even into such another place as itself.* Cf. c. 2. supr. Τοιούτους ἑτέρους ἔχεις.

Εἰς Ἅιδου ὡς ἀληθῶς.] *In eum, qui vere est ἀΐδης;* ὡς ἀληθῶς being used in reference to the fictions of the poets and the vulgar on the subject; for doubtless the place where the τὰ ἀειδῆ, and τὰ ὄντως ὄντα were, properly deserved a name synonymous with that of its occupant.

τοῦ σώματος εὐθὺς διαπεφύσηται καὶ ἀπόλωλεν, ὥς φασιν οἱ πολλοὶ ἄνθρωποι; πολλοῦ γε δεῖ, ὦ φίλε Κέβης τε καὶ Σιμμία, ἀλλὰ πολλῷ μᾶλλον ὧδε ἔχει· ἐὰν μὲν καθαρὰ ἀπαλλάττηται, μηδὲν τοῦ σώματος ξυνεφέλκουσα, ἅτε οὐδὲν κοινωνοῦσα αὐτῷ ἐν τῷ βίῳ ἑκοῦσα εἶναι, ἀλλὰ φεύγουσα αὐτὸ καὶ συνηθροισμένη αὐτὴ εἰς αὐτήν, ἅτε μελετῶσα ἀεὶ τοῦτο,—τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ὀρθῶς φιλοσοφοῦσα καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως. ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; Παντάπασί γε. Οὐκοῦν οὕτω μὲν ἔχουσα εἰς τὸ ὅμοιον αὐτῇ τὸ ἀειδὲς ἀπέρχεται, τὸ θεῖόν τε καὶ ἀθάνατον καὶ φρόνιμον, οἷ ἀφικομένῃ ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι, πλάνης καὶ ἀνοίας καὶ φόβων καὶ ἀγρίων ἐρώτων καὶ τῶν ἄλλων κακῶν τῶν ἀνθρωπείων ἀπηλλαγμένῃ, ὥς περ δὲ λέγεται κατὰ τῶν μεμυημένων, ὡς ἀληθῶς τὸν λοιπὸν χρόνον μετὰ θεῶν διάγουσα; οὕτω φῶμεν, ὦ Κέβης, ἢ ἄλλως.

§. 30. Οὕτω νὴ Δί', ἔφη ὁ Κέβης. Ἐὰν δέ γε, οἶμαι, μεμιασμένη καί ἀκάθαρτος τοῦ σώματος ἀπαλλάττηται, ἅτε τῷ σώματι ἀεὶ ξυνοῦσα καὶ τοῦτο θε-

Διαπεφύσηται καὶ ἀπόλωλεν.] i. e. *Is wont to be dissipated and destroyed;* the perfect being used in this sense, with reference to the complete fulfilment, succeeded by a state analogous to it.—Matthiæ Gr. s. 502. 2.

Οἱ πολλοὶ ἄνθρωποι.] Elsewhere οἱ πολλοί, simply; ἄνθρωποι is probably added in contempt.

Ἑκοῦσα εἶναι.] *Quantum quidem ab ipsius voluntate penderet.* STALL. Cf. c. 5. supr. a med. ἑκὼν εἶναι. Apol. Socr. c. 27. init. See Matthiæ Gr. s. 545.

Μελέτη θανάτου.] Cf. Cic. Tusc. i. 30. "Tota enim philosophorum vita, ut ait idem (Plato) commentatio mortis est." Hermias Comment. MS. n. Phædr. p. 45. καὶ ἡ φιλοσοφία οὐδὲν ἄλλό ἐστιν, ἀλλ' ἢ μελέτη θανάτου.

Ὑπάρχει αὐτῇ εὐδαίμονι εἶναι.] h. e. *Ei contingit esse beatæ.* STALL. Cf. Xenoph. Cyrop. ii. 1. 23. ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων.

Ἀγρίων ἐρώτων.] *Wild* or *unbridled desires,* which, together with the fears, produce those disturbances of the mind which are comprehended in ἀνοία preceding.

Διάγουσα.] Heindorf would read διαγούσῃ, because of ἀπηλλαγμένῃ preced. but there is no sanction in any of the copies for the change, which certainly seems requisite. Stallbaum attributes the reading, as supr., to the not unusual negligence of prose writers, who attend, in many instances, to the sense rather than the grammatical construction. He compares Thucyd. vii. 42. καὶ τοῖς μὲν Συρακουσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι

ραπεύουσα καὶ ἐρῶσα καὶ γεγοητευμένη ὑπ' αὐτοῦ ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς ἀλλ' ἢ τὸ σωματοειδὲς οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι καὶ φάγοι καὶ πίοι καὶ πρὸς τὰ ἀφροδίσια χρήσαιτο, τὸ δὲ τοῖς ὄμμασι σκοτῶδες καὶ ἀειδές, νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν, τοῦτο δὲ εἰθισμένη μισεῖν τε καὶ τρέμειν καὶ φεύγειν, οὕτω δὴ ἔχουσαν οἴει ψυχὴν αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ ἀπαλλάξεσθαι; Οὐδ' ὁπωστιοῦν, ἔφη. Ἀλλὰ διειλημμένην γε οἶμαι ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτῇ ἡ ὁμιλία τε καὶ ξυνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι καὶ διὰ τὴν πολλὴν μελέτην ἐνεποίησε ξύμφυτον. Πάνυ γε. Ἐμβριθὲς δέ γε, ὦ φίλε, τοῦτο οἴεσθαι χρὴ εἶναι καὶ βαρὺ καὶ γεῶδες καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ βαρύνεταί τε καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον, φόβῳ τοῦ ἀειδοῦς τε καὶ

τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον — ἐπεληλυθότα, κ. τ. λ., where *ὁρῶντες* does not appear to have required emendation. V. Ducker. in loc. Poppo Prolegomen. ad Thucyd. i. P. 1. p. 111. Whence he conjectures the nom. *διάγουσα* to have been used as if the preceding construction had been *οἱ ἀφικομένη εὐδαίμων ἔσται, κ. τ. λ.*

§. 30. *Ἐρῶσα.*] Sc. *αὐτοῦ.*—*Ὑπό τε τῶν ἐπιθυμιῶν καὶ ἡδονῶν,*—added in explanation of *ὑπ' αὐτοῦ* preced.

Ἀλλ' ἢ.] See Apol. Socr. c. 22. fin. *Ἀλλ' ἢ τὸν ὀρθόν.* This form, which is frequently adopted by the Greek writers, arises from the union of two constructions, of which the one denotes opposition, and the other comparison, whence the passage, as supr. combines the effect of the separate propositions *ὥστε μηδὲν ἄλλο δοκεῖν εἶναι ἀληθὲς, ἄλλα τὸ σωματοειδὲς*—and *ὥστε μ. ἄ. δ. εἶναι ἀληθὲς, ἢ τὸ σωματ.* So with *πλὴν ἢ.* STALL. Cf. Schaefer, Apparat. ad Demosthen. i. p. 752.

Οὗ τις ἂν ἅψαιτο καὶ ἴδοι.] If there are two verbs of different regimen in the proposition which begins with the relative, with each of which, therefore, the relative should be in a different case, it is commonly found only once, and in the case required by the nearest verb.—Matthiæ Gr. s. 474. *d.* Upon the sense "to be able," implied in the optatives as supr. See Matthiæ Gr. s. 514. *b.*

Νοητὸν δὲ καὶ φιλοσοφίᾳ αἱρετόν.] i. q. In Tim. p. 29. A. *λόγῳ καὶ φρονήσει περιληπτόν.*

Διειλημμένην.] *Involved, engrossed,* or *enmeshed.* According to Heindorf; *ita occupatam a corpore, ut id per eam dispersum quasi et dissipatum sit.* Wyttenbach gives it the force of *ligatam, interceptam, interligatam,* in which he is followed by V. Cousin; *toute chargée des liens de l'enveloppe materielle.*

Ἐμβριθὲς.] Nearly synonymous with *βαρύ* seq. Hesych. *Ἐμβριθὲς· βαρύ.* Sap. Sal. ix. 15. *Φθαρτὸν γαρ σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει το γεῶδες σκῆνος νοῦν πολυφροντίδα.* Philo de Gigant. 288. *Πλατωνίζων*: *ὅσαι* (*sc.* *ψυχαὶ*) *τῶν σαρκῶν φόρτον ἀχθοφοροῦσι, βαρυνόμεναι καὶ πιεζόμεναι, ἄνω μὲν βλέπειν εἰς τὰς οὐρανίους περιόδους ἀδυνατοῦσι, κάτω δὲ ἑλκυσθεῖσθαι τὸν αὐχένα βιαίως, δίκην τετραπόδων, γῇ προσερρίζωνται.*

Αιδου, ὥς περ λέγεται, περὶ τὰ μνήματα τε καὶ τοὺς τάφους κυλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκοτοειδῆ φάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, αἱ μὴ καθαρῶς ἀπολυθεῖσαι ἀλλὰ τοῦ

Περὶ τὰ μνήματα—καὶ τοὺς τάφους.] This doctrine was held by many of the ancients. v. Hieron. Mag. in Miscell. iv. c. 12. Elsner, in Observ. Sacr. p. 47. It was adopted by the Jews also, who believed that the soul was not admitted to the celestial joys immediately after death, but that it wandered in this world, chiefly about the place where its body had been deposited, and after a species of purgatory, by which it was cleansed from its stains, it passed again into other bodies of men or inferior animals. V. Lightfoot on John, c. 11. v. 39. Vitringa in Synagog. Vet. i. p. 222. Mosheim, on Cudworth, cap. 5. Sect. 3. note 21. in fin. "Hæc nempe spectra nonnulli animos esse hominum decernebant mortuorum, aut potius eorum simulacra; quibus oppositi alii duplicis ea generis esse, constituebant: alia dæmonum ex ordine seu animorum nondum corporibus sociatorum, alia ex animis corpore solutis. Et erant aliqui tam audaces, ut datum sibi esse prædicarent, hæc duplicis naturæ spectra certis notis inter se discernere et distinguere. Scilicet nil intentatum relinquit superstitio." Κυλινδουμένη, — *κυλινδεῖσθαι, volutari, versari.* — Fisch. Cf. Cic. Somn. Scip. ix. "eorum animi qui se corporis voluptatibus dederunt—corporibus elapsi circa terram ipsam volutantur." Lactant. Instit. ii. 2. 6. "Vulgus existimat animas circa tumulos et corporum suorum reliquias oberrare."

Σκοτοειδῆ φάσματα.] Appul. Apol. p. 315. Elm. "At tibi duat deus ista semper obvias species mortuorum; quicquid umbrarum est usquam, quicquid Lemurum, quicquid Manium, quicquid Larvarum, oculis tuis aggerat: omnia noctium occursacula, omnia bustorum formidamina, omnia sepulchrorum terriculamenta." Sallust. de Diis et Mundo. c. 19. p. 106. Πάντως δὲ μετὰ τῆς ἀλόγου ὑπομένουσι, μεθ' ἣσπερ καὶ ἥμαρτον· δι' ἣν καὶ τὸ σκιοειδὲς σῶμα ὑφίσταται, ὃ περὶ τοὺς τάφους, καὶ μάλιστα τῶν κακῶς ζησάντων ὁρᾶται.

Εἴδωλα.] Mosheim on Cudworth, cap. 5. sec. 3. note 23. "Constans est veterum et concors sententia, animos corporis terreni vinculis solutos ad inferos seu *εἰς ᾅδην* abire: sapientum quidem et heroum mentes ipsum una cum corpore mortali simulacrum (*εἴδωλον*) amittere, statimque cum Diis post excessum conjungi, tametsi simulacrum seu animus sentiens ad civitatem *Plutonis* descendat; vulgares autem animos una cum simulacro in subterraneum huncce locum commigrare: in eo animos sanabiles varii generis cruciatibus, quo puri fiant et liquidi, subjici: nimis vero sceleratos et inveterata malitia infectos æternis suppliciis torqueri." Ibid. note 19—"Modo—monuero non iisdem apud omnes nominibus secundarium hoc animæ corpus appellari. Plerique eorum *εἴδωλον* illud nominant—alii vero, in quibus Porphyrius et Hierocles sunt, *φύσιν* illud dicunt, alii *πνεῦμα* nominant alii *ψυχὴν πνευματικὴν*, ut Synesius Libro de Insomniis, p. 137. Ex his nominibus varii nascuntur qui familiares sunt Platonicis, loquendi modi, in quibus exponendis facile aliquis erraverit, nisi nomina quæ diximus calleat." The subject of the *εἴδωλα* is discussed at considerable length by Mosheim in locc. citt. and with a distinctness which throws all possible light upon this portion of the Platonic philosophy. Cf. Hom. Il. ψ'. 103. Ὦ πόποι, ἦ ῥά τις ἐστὶ καὶ εἰν Ἀΐδαο δόμοισι Ψυχὴ καὶ εἴδωλον ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν. and Kennedy in loc. Odyss. λ'. 600. Τὸν ὁ μετ' εἰσενόησα βίην Ἡρακληείην, Εἴδωλον.—which is mentioned as distinct from Hercules himself, who was dwelling amongst the gods. Lucret. i. 121.—"Esse Acherusia templa Ennius æternis exponit versibus edens; quo neque permanent animæ, neque corpora nostra; sed quædam simulacra modis pallentia miris." Æneid. iv. 654. "Et nunc magna mei sub terras ibit imago." vi. 292. "Et ni docta comes tenues sine corpore vitas Admoneat volitare cava sub imagine formæ, Irruat

ὁρατοῦ μετέχουσαι, διὸ καὶ ὁρῶνται. Εἰκός γε, ὦ Σώκρατες. Εἰκὸς μέντοι, ὦ Κέβης· καὶ οὔ τί γε τὰς τῶν ἀγαθῶν ταύτας εἶναι, ἀλλὰ τὰς τῶν φαύλων, αἳ περὶ τὰ τοιαῦτα ἀναγκάζονται πλανᾶσθαι δίκην τίνουσαι τῆς προτέρας τροφῆς, κακῆς οὔσης. καὶ μέχρι γε τούτου πλανῶνται ἕως ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος τοῦ σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα.

§. 31. Ἐνδοῦνται δέ, ὥς περ εἰκός, εἰς τοιαῦτα ἤθη ὁποῖ' ἄττ' ἂν καὶ μεμελετηκυῖαι τύχωσιν ἐν τῷ βίῳ. Τὰ ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες; Οἷον τοὺς

et frustra ferro diverberet umbras," and Heyne in loc.

Τῆς προτέρας τροφῆς.] Etymol. M. and Suid. Τροφή· — λαμβάνεται καὶ ἐπὶ τῆς ἀγωγῆς καὶ παιδείας. where τροφή, *a mode* or *plan of life*, implies the instruction or discipline by which it was originally framed.

§. 31. Ἐνδοῦνται.] Olympiod.— Ὅτι παλαιὸς λόγος, Ὀρφικός τε γὰρ καὶ Πυθαγόρειος, ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα, καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις. This doctrine, which, as Olympiodorus justly observes, should rather be called μετενσωμάτωσις, as being the transmigration of the same soul into different bodies, than μετεμψύχωσις, which strictly signifies the transmigration of different souls into the same body, was borrowed from Pythagoras and the Egyptians. Plato, says Enfield, disdaining the sober method of reasoning introduced by Socrates, left his first master in search of other preceptors. This natural propensity towards excessive refinement in speculation, and the celebrity of the Italic school, which abounded in subtleties, induced him to attach himself to the Pythagorean philosophy. He afterwards studied under the Egyptian priests, who, doubtless, seduced him still farther from the plain path of common sense which had hitherto been followed in the Socratic school. Whence it was not without reason that Xenophon, or whoever else was the author of the epistle of Æschines, preserved in his works, censures Plato for neglecting the sober philosophy of Socrates, and through a vain affectation of extraordinary refinement, and a fond partiality for the mysteries of Egypt, and for the prodigies of Pythagoras, devoting himself to subtle speculations, and becoming a haughty professor of wisdom. Hist. of Philos. ii. c. 8. s. 1.

Τοιαῦτα ἤθη.] h. l. Ζῶα τοιούτοις ἤθεσι χρώμενα. HEIND.

Τὰ ποῖα δὴ ταῦτα λέγεις.] Mosheim, in Cudworth. c. 5. sect. 3. note 21. " Antiquiores humanam tantum formam huic animæ vestimento attribuerunt, nec ullo putem veterem scriptorum dicto demonstrari posse, visum fuisse cuiquam remotiori ævo, canis, lupi, leonis, aut aliorum animalium figuram mentem adsciscere posse. At Platonicum genus nullos respuebat credulæ plebis rumores et fabulas: quare quum sermones passim circumferri non ignoraret de spectris, luporum aut aliorum animantium forma vagantibus et vim hominibus inferentibus, et hos sibi minime repudiandos, verum ita temperandos esse, ut suis non adversarentur præceptis existimavit. Hinc talem esse docebat animæ formam exteriorem, qualis interior ejus status esset: Humanam plerosque animos formam referre: at aliquos tamen, ceteris scilicet corruptiores et ad improbas libidines propensiores, talibus similes apparere bestiis, qualium vitia et naturam consectati essent in hac vita: crudelem tyrannum leonis, intemperantem prorsus et voracem lupi, libidinosum hirci simulacrum gerere. —

μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβημένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι. ἢ οὐκ οἴει; Πάνυ μὲν οὖν εἰκὸς λέγεις. Τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη. ἢ ποῖ ἂν ἄλλοσε φαῖμεν τὰς τοιαύτας ἰέναι; Ἀμελει, ἔφη ὁ Κέβης, εἰς τὰ τοιαῦτα. Οὐκοῦν, ἦ δ' ὅς, δῆλα δὴ καὶ τἆλλα, οἳ ἂν ἑκάστη ἴοι κατὰ τὰς αὐτῶν ὁμοιότητας τῆς μελέτης; δῆλον δή, ἔφη· πῶς δ' οὔ; Οὐκοῦν εὐδαιμονέστατοι, ἔφη, καὶ τούτων εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες οἱ τὴν δημοτικήν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν δὴ καλοῦσι σω-

Omnes tamen an huic dediti fuerint sententiæ sectæ hujus philosophi, haud equidem dixerim. Consentiunt etiam inter se de causis et initiis hujus formæ. Animam enim ipsam universi statuunt; formam istam corpori, quod adjunctum habet, imaginandi qua pollet, facultate imprimere. Accendi nimirum animum amore corporum: hunc amorem efficere, ut humidum is spiritum copiose attrahat: per spiritum hunc crassiorem aspectabilem fieri animum: accedere denique imaginationem animæ et forma corpus, quod gerit, donare tali, qualem interior ejus poscat affectio. Quot hic recito sententias, tot scio, me portenta narrare videri illis, qui nihil probant prætor id, quod rationibus et argumentis vident munitum esse: verum nihil me sectæ huic tribuere, quod ab ejus alienum disciplina sit, innumeris confirmare mihi locis eorum licet." Cf. in Tim. p. 42. 91. de Repub. x. sub. fin. in Phædr. p. 249. Tim. Socr. de Anim. Mundi in fin.

Ὑβρεις.] *Stupra, flagitia;* whence ὕβ. μεμελετηκότες, *lascivi, libidinosi, flagitiosi.* FISCH. Φιλοποσίας, *inebriety.* Edd. φιλοτησίας, which does not accord with the tenor of the passage.

Μὴ διευλαβημένους.] h. e. *Qui sibi non prorsus ab illis vitiis caverunt, qui illa non omni modo fugerunt.* STALL.— Ficinus appears to have read καὶ μηδὲν διευλαβημ. which is approved by Heindorf. V. Cousin; *qui n'ont eu aucune retenue.*

Οἳ ἂν ἑκάστη ἴοι, κ. τ. λ.] *Quocumque quæque iverit, iverit secundum similitudinem consuetudinis.* WYTT. Some copies read ᾗ ἂν ἑκάσ. upon which see Matthiæ Gr. s. 486. 2. *a.*

Καὶ τούτων.] *Even of these;* i. e. who have not studied to withdraw their attention altogether from things terestrial. The happiest amongst them were those who forbore the excesses which a merely moral discipline enabled them to withstand.

Τὴν δημοτικήν τε καὶ πολιτικ. ἀρετ.] Cf. c. 13. supr. The virtues unconnected with philosophy, and which were attainable by study and practice, without any exercise of those higher intellectual faculties which were necessary to, and frequently made synonymous with philosophy itself, were called πολιτικαὶ. They were social or moral virtues only, and received their name from the sense in which Plato understood politics, which he defined to be the application, on a great scale, of the laws of morality; a society being composed of individuals, and therefore restricted by similar obligations. According to Plotinus, the human soul cannot attain perfection or felicity but by the contemplation of the Supreme Unity, by means of an absolute abstraction (ἁπλώσις, simplification), from all compounded

φροσύνην τε καὶ δικαιοσύνην, ἐξ ἔθους τε καὶ μελέτης γεγονυῖαν ἄνευ φιλοσοφίας τε καὶ νοῦ; Πῇ δὴ οὗτοι εὐδαιμονέστατοι; Ὅτι τούτους εἰκός ἐστιν εἰς τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικόν τε καὶ ἥμερον γένος, ἢ που μελιττῶν ἢ σφηκῶν ἢ μυρμήκων, ἢ καὶ εἰς ταὐτόν γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίγνεσθαι ἐξ αὐτῶν ἄνδρας μετρίους. Εἰκός.

§. 32. Εἰς δέ γε θεῶν γένος μὴ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῷ ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἀλλ' ἢ τῷ φιλομαθεῖ. ἀλλὰ τούτων ἕνεκα, ὦ ἑταῖρε Σιμμία τε καὶ Κέβης, οἱ ὀρθῶς φιλοσοφοῦντες ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν καὶ καρτεροῦσι καὶ οὐ παραδιδόασιν αὑταῖς αὐτούς, οὔ τι

things, and by ascending to the heights of pure existence. In this consists virtue, which is two-fold; inferior virtue, (or πολιτική) belonging to such souls as are in the progress of purification; and superior virtue, which consists in an intimate union, by contemplation, with the Divine Being (ἕνωσις). Tennemann, Philos. s. 214. Cf. Macrob. in Somn. Scip. i. 8. "Plotinus inter philosophiæ professores cum Platone princeps, libro de Virtutibus, gradus earum vera et naturali divisionis ratione compositos per ordinem digerit. Quatuor sunt, inquit, quaternarum genera virtutum: ex his primæ politicæ vocantur, secundæ purgatoriæ, tertiæ animi jam purgati, quartæ exemplares," &c.

Πολιτικόν — γένος, ἢ που μελιττῶν.] The familiar economy of the bee-hive renders the application of πολιτικόν γένος easily obvious. Cf. Aristot. Hist. Anim. i. 1. p. 471. Virgil. Georg. iv. 3. "Admiranda tibi levium spectacula rerum, Magnanimosque duces, totiusque ordine gentis Mores, et studia, et populos, et prælia dicam."

§. 32. Εἰς δέ γε θεῶν γένος.] It would appear, Wyttenbach remarks, from this passage as it stands, that although one were not a philosopher, nor perfectly clear, at his departure from life, of corporeal taint, still he might be classed among the gods, if only he were φιλομαθής: an interpretation which the commentator observes to be at variance with the reasoning and sense of Plato, whence he proposes to read; Εἰς δέ γε θεῶν γένος μὴ οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ ἢ τῷ φιλομαθεῖ φιλοσοφήσαντι καὶ παντελῶς καθαρῶς ἀπιόντι, i. e. *In deorum autem genus nefas est alii pervenire quam doctrinæ studioso philosophato et plane puro abeunti.* Heindorf conjectures; ἀλλὰ μόνῳ τῷ φιλομαθεῖ. τούτων ἕνεκα, κ. τ. λ. Φιλοσοφήσας and φιλομαθής are nearly synonymous, so much so as to prevent any distinction that could be drawn between them affecting the passage to such a degree as might obviate the difficulty. It is suggested as a probable explanation, that ἀλλ' ἢ τῷ φιλομαθεῖ is added to increase the force and emphasis of the sentence, as if he said, that it was unlawful for one who was not a philosopher, and who had not departed from life unstained by moral guilt, to rank among the gods; unlawful that this should occur in any case, except to the genuine philosopher.

Some suppose the words οὐδ' ἄλλῳ ἢ τῷ φιλομαθεῖ, to have been inserted by a copyist in explanation of μὴ φιλοσοφήσαντι, preced. and ἄλλῳ changed afterwards to ἀλλά as supr. According to Wyttenbach, φιλομαθής is the genus of which φιλόσοφος is the species, whence every φιλόσοφος was also φιλομαθής but not v. v. Hence Cicero

οἰκοφθορίαν τε καὶ πενίαν φοβούμενοι ὥς περ οἱ πολλοὶ καὶ φιλοχρήματοι· οὐδὲ αὖ ἀτιμίαν τε καὶ ἀδοξίαν μοχθηρίας δεδιότες, ὥς περ οἱ φιλαρχοί τε καὶ φιλότιμοι, ἔπειτα ἀπέχονται αὐτῶν. Οὐ γὰρ ἂν πρέποι, ἔφη, ὦ Σώκρατες, ὁ Κέβης. Οὐ μέντοι μὰ Δί', ἦ δ' ὅς. τοιγάρτοι τούτοις μὲν ἅπασιν, ἔφη, ὦ Κέβης, ἐκεῖνοι οἷς τι μέλει τῆς αὐτῶν ψυχῆς ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι, χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς, ὡς οὐκ εἰδόσιν ὅπῃ ἔρχονται, αὐτοὶ δὲ ἡγούμενοι οὐ δεῖν ἐναντία τῇ φιλοσοφίᾳ πράττειν καὶ τῇ ἐκείνης λύσει τε καὶ καθαρμῷ ταύτῃ τρέπονται, ἐκείνῃ ἑπόμενοι ᾗ ἐκείνη ὑφηγεῖται.

§. 33. Πῶς, ὦ Σώκρατες; Ἐγὼ ἐρῶ, ἔφη. γιγνώσκουσι γάρ, ἦ δ' ὅς, οἱ φιλομαθεῖς ὅτι παραλαβοῦσα αὐτῶν τὴν ψυχὴν ἡ φιλοσοφία ἀτεχνῶς διαδεδεμένην ἐν τῷ σώματι καὶ προσκεκολλημένην, ἀναγκαζομένην δὲ ὥς περ δι' εἱργμοῦ διὰ τούτου σκοπεῖσθαι τὰ ὄντα ἀλλὰ μὴ αὐτὴν δι' αὐτῆς, καὶ ἐν πάσῃ ἀμαθίᾳ κυλινδουμένην, καὶ τοῦ εἱργμοῦ τὴν δεινότητα

uses *docti* and *doctissimi* for *philosophi*.

Οἰκοφθορίαν.] *Rei familiaris jacturam.* Wytt. *The ruin* or *dilapidation of a family property.* Donn. Gr. Lex.

Ἔπειτα.] *So, therefore, things being so.*

Μὴ σώματα πλάττοντες.] *Qui quidem animum suum curant, neque corpus unice colunt et fovent.* Stall.—Ζῶσι, sc. *αὐτοί*, Matthiæ Gr. s. 472. 3.

Τῇ ἐκείνης λύσει τε καὶ καθαρ. ταύτ.] Explained c. 33. sq.

§. 33. Παραλαβοῦσα—*τὴν ψυχὴν ἡ φιλοσοφία.*] Παραλαμβάνειν is affirmed of those who take up, or take charge of any for the purposes of education and discipline. Hence it is justly applied to philosophy as above, under whose tutelage the soul is delivered from the thraldom of the body and its organs, and restored to the purity and freedom to which it is entitled as an immortal and independent essence.

Ὡς περ δι' εἱργμοῦ.] *As if through a dungeon.* Cod. Aug. *δι' εἵργμοῦ*, after Hesych. Εἱργμός· κώλυσις, δεσμός, συνέχεσις., but εἱργμοῦ is correct, as appears from Eustathius, ad Odyss. *ά.* p. 14. ed. Bas. τὸ εἵργω ἐπὶ μὲν τοῦ κωλύω ἐψιλουν οἱ Ἀττικοί, καὶ δῆλον ἐκ τοῦ ἀπειρξαν· ἐπὶ δὲ τοῦ ἐγκλείω ἐδάσυνον, ὡς δηλοῖ τὸ καθεῖρξαν, ὅθεν καὶ δασύνεται καὶ ἡ εἰρκτή. The soul, imprisoned within the body, is obliged to receive impressions through the senses, which are usually as false as the medium is fallacious. It cannot, while thus confined, become properly the object of its own contemplation, nor can it devote itself, while trammelled by the body and its appetites, to those purely intellectual exertions and researches, by which alone it is enabled to arrive at truth. But it is assisted, and in fine successfully, in attaining to a knowledge of the intelligible and invisible, by philosophy, which is at once its ransomer and guide.

Κυλινδουμένην.] *Grovelling.*

κατιδοῦσα ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλλήπτωρ εἴη τῷ δεδέσθαι,—ὅ περ οὖν λέγω, γιγνώσκουσιν οἱ φιλομαθεῖς ὅτι οὕτω παραλαβοῦσα ἡ φιλοσοφία ἔχουσαν αὐτῶν τὴν ψυχὴν ἠρέμα παραμυθεῖται καὶ λύειν ἐπιχειρεῖ, ἐνδεικνυμένη ὅτι ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις, ἀπάτης δε ἡ διὰ τῶν ὤτων καὶ τῶν ἄλλων αἰσθήσεων, πείθουσα δὲ ἐκ τούτων μὲν ἀναχωρεῖν ὅσον μὴ ἀνάγκη αὐτοῖς χρῆσθαι, αὐτὴν δὲ εἰς αὐτὴν ξυλλέγεσθαι καὶ ἀθροίζεσθαι παρακελευομένη, πιστεύειν δὲ μηδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτὴν αὐτῇ, ὅ τι ἂν νοήσῃ αὐτὴ καθ' αὑτὴν αὐτὸ καθ' αὑτὸ τῶν ὄντων· ὅ τι δ' ἂν δι' ἄλλων σκοπῇ ἐν ἄλλοις ὂν ἄλλο, μηδὲν ἡγεῖσθαι ἀληθές· εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δὲ αὐτὴ ὁρᾷ, νοητόν τε καὶ ἀειδές. ταύτῃ οὖν τῇ λύσει οὐκ οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ λυπῶν καὶ

Ὅτι δι' ἐπιθυμίας ἐστίν.] i. q. Ὅτι ἐπιθυμεῖ, sc. ὁ εἱργμός. Whence Stallbaum; *et quum philosophia claustri istius vim et diritatem perspexit, quippe quod cupide quasi circumspiciat, quomodo ille ipse, qui devinctus est, maxime ad id conferat, ut captus teneatur.*—Heindorf objects to the affirming δι' ἐπιθυμίας ἐστίν in an active sense of τοῦ εἱργμοῦ as supr., but as it has already received the attribute, τὴν δεινότητα, it may be easily said ἐπιθυμεῖν, ὡς ἂν μάλ. κ. τ. λ. Upon the construction δι' ἐπιθυμίας εἶναι, see Matthiæ Gr. s. 580. 2. c. For τῷ δεδέσθαι infr. Heindorf proposes τοῦ δεδέσθαι and compares Phædr. c. 29. ξύμ. μοι λαβέσθε τοῦ μύθου. Aristoph. Vesp. 733. νῦν δ' αὖ παρών τις—τῶν θεῶν ξυλλαμβάνει τοῦ πράγματος. Xenoph. Mem. ii. 2. 12. ἵνα—ἀγαθοῦ σοι γίγνηται συλλήπτωρ. ii. 2. 32. ἀγαθὴ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, &c.

Ἠρέμα παραμυθεῖται.] See c. 14. supr. a med. Παραμυθίας.

Ὅ τι δ' ἂν δι' ἄλλων—ἐν ἄλλοις ὂν ἄλλο.] Δι' ἄλλων is opposed to αὐτὴ καθ' αὑτήν preced. in the sense of δι' αἰσθήσεων or διὰ τοῦ σώματος. So τὸ ἐν ἄλλοις ὂν ἄλλο is opposed to αὐτὸ καθ' αὑτό, the former being understood of those things which, as submitted to the senses, are subject to continual uncertainty and change, whence they are said to be ἐν ἄλλοις ἄλλα. Wyttenbach explains the passage; *Quidquid vero per alia considebet* (i. e. *corporeum per sensus corporis*), *quum in aliis sensibus aliud appareat, nihil horum verum putare*; and compares Phædr. p. 345. C.—καθορᾷ δὲ ἐπιστήμη, οὐχ ᾗ γίνεσις πρόσεστιν· οὐδ' ἡ ἐστί που ἑτέρα ἐν ἑτέρῳ οὖσα, ὧν ἡμεῖς νῦν ὄντων καλοῦμεν· ἀλλὰ τὴν ἐν τῷ ὄ ἐστιν ὂν ὄντως ἐπιστήμην οὖσαν.—V. Cousin: "*Et de tenir pour faux tout ce qu'elle apprend par un autre qu'elle même, tout ce qui varie selon la difference des intermédiaires.*

Ἐναντιοῦσθαι.] *Counteract by opposition.*

Οὕτως.] i. q. Ἔπειτα. supr. c. 32. sub. fin.

φόβων καθ' ὅσον δύναται, λογιζομένη ὅτι ἐπειδάν τις σφόδρα ἡσθῇ ἢ φοβηθῇ ἢ λυπηθῇ ἢ ἐπιθυμήσῃ, οὐδὲν τοσοῦτον κακὸν ἔπαθεν ἀπ' αὐτῶν ὅσον ἄν τις οἰηθείη, οἷον ἢ νοσήσας ἤ τι ἀναλώσας διὰ τὰς ἐπιθυμίας, ἀλλ' ὃ πάντων μέγιστόν τε κακὸν καὶ ἔσχατόν ἐστι, τοῦτο πάσχει καὶ οὐ λογίζεται αὐτό. Τί τοῦτο, ὦ Σώκρατες; ἔφη ὁ Κέβης. Ὅτι ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται ἅμα τε ἡσθῆναι ἢ λυπηθῆναι σφόδρα ἐπί τῳ καὶ ἡγεῖσθαι, περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἐναργέστατόν τε εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον. ταῦτα δὲ μάλιστα τὰ ὁρατά. ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα καταδεῖται ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥς περ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρός τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα ἀληθῆ εἶναι ἅ περ ἂν καὶ τὸ σῶμα φῇ. ἐκ γὰρ τοῦ ὁμοδοξεῖν τῷ σώματι καὶ τοῖς αὐτοῖς χαίρειν ἀναγκάζεται, οἶμαι, ὁμότροπός τε καὶ ὁμότροφος γίγνεσθαι καὶ οἷα μηδέποτε καθαρῶς εἰς Αἰδου ἀφικέσθαι, ἀλλ' ἀεὶ τοῦ σώματος ἀναπλέα ἐξιέναι, ὥστε ταχὺ πάλιν πίπτειν εἰς ἄλλο σώ-

Τοσοῦτον.] i. e. *Merely such an evil as one would suppose to result from sickness, &c.—but that which is the greatest and extreme evil of all, &c.*—τοσοῦτον being taken in the opposite of its more usual sense, which is sometimes the case with *tantum* of the Latins. See Cic. Epist. i. 7. and Manut. in loc. c.—Ἀπ' αὐτῶν, sc. τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν.

Ἐπί τῳ καὶ ἡγεῖσθαι.] h. e. *animum cogi simul et gaudere vel dolere magnopere de re quapiam et putare, &c.*—HEIND.—Οὐχ οὕτως ἔχον, *though it is not so.* Matthiæ Gr. s. 608. 5. *d.*—Ταῦτα δὲ μάλιστα τὰ ὁρατά. — *Hæc autem potissimum ea sunt, quæ cerni possunt.* HEIND.

Ὑπὸ σώματος.] i. e. By the bodily appetites and passions, with which the soul being infected, is called infr. τοῦ σώματος ἀναπλέα. Cf. in Tim. p. 43. 86. Steph. where Plato shows the diseases of the mind to derive their origin from this material contagion, uncorrected by proper discipline.

Ἧλον ἔχουσα.] Cf. Iamblich. Vit. Pythag. s. 228. μήτε προσηλούντων τῷ σώματι τὴν ψυχὴν παθημάτων καὶ προσπερονώντων ἐπιστρέφεσθαι. de Myster. Ægypt. ii. 6. p. 48.—Παθῶν πληροῖ προσηλούντων τοὺς θεωροῦντας τοῖς σώμασι. Horat. Sat. ii. 2. 79.—"Atque adfigit humo divinæ particulam auræ."

Οἷα μηδέποτε — ἀφικέσθαι.] h. e. καὶ τοιαύτη, ὥστε μηδέποτε ἀφ.—STALL.

Τοῦ σώματος ἀναπλέα.] *Corpore polluta et inquinata.*—STALL. Ruhnken ad Tim. Gloss. Ἀνάπλεως. ἀναπεπλησμένος. χρῆται δὲ ἐπὶ τοῦ

μα καὶ ὥς περ σπειρομένη ἐμφύεσθαι, καὶ ἐκ τούτων ἄμοιρος εἶναι τῆς τοῦ θείου τε καὶ καθαροῦ καὶ μονοειδοῦς συνουσίας. Ἀληθέστατα, ἔφη, λέγεις, ὁ Κέβης, ὦ Σωκρατες.

§. 34. Τούτων τοίνυν ἕνεκα, ὦ Κέβης, οἱ δικαίως φιλομαθεῖς κοσμιοί τ' εἰσὶ καὶ ἀνδρεῖοι, οὐχ ὧν οἱ πολλοὶ ἕνεκά φασιν. ἢ σὺ οἴει; Οὐ δῆτα ἔγωγε. Οὐ γὰρ· ἀλλ' οὕτω λογίσαιτ' ἂν ψυχὴ ἀνδρὸς φιλοσόφου, καὶ οὐκ ἂν οἰηθείη τὴν μὲν φιλοσοφίαν χρῆναι ἑαυτὴν λύειν, λυούσης δὲ ἐκείνης αὐτὴν παραδιδόναι ταῖς ἡδοναῖς καὶ λύπαις ἑαυτὴν πάλιν αὖ ἐγκαταδεῖν καὶ ἀνήνυτον ἔργον πράττειν, Πηνελόπης τινὰ ἐναντίως ἱστὸν μεταχειριζομένην· ἀλλὰ γαλήνην τούτων παρασκευάζουσα, ἑπομένη τῷ λογισμῷ καὶ ἀεὶ ἐν τούτῳ οὖσα, τὸ ἀληθὲς καὶ τὸ θεῖον καὶ τὸ ἀδόξαστον

μεμολυσμένον. See Apol. Socr. c. 20. a med. Ἀναπλῆσαι αἰτιῶν.

§. 34. Οἱ δικαίως φιλομαθεῖς.] i. q. Οἱ ὀρθῶς φιλόσοφοι. c. 33. init. *Vere philosophantes, doctrinæ recte studentes.* Wytt.

Οὐ γὰρ· ἀλλ' οὕτω.] *Non profecto: sed sic.*—Wytt. Cf. Luke, Acts, xvi. 37. Οὐ γὰρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν, *nay, verily; but let them come themselves and fetch us out.*

Ἀνήνυτον ἔργον.] *Irritum opus facere, quod nunquam ad exitum perduci queat.* Heind. The soul, when disenthralled by the aid of philosophy it has shaken off its corporeal chains, should continue to abide in the purity and freedom secured by its deliverer. It should never again be subjected to the bondage of those passions by which it had been once degraded and debased: if it were so, the offices of philosophy were then rendered nugatory and vain. And as Penelope unwove by night what she had wove by day, so incomplete and unavailing was the task of philosophy in the purification of a soul, which *reversed*, however, the plan of Penelope, inasmuch as when loosed at first it submitted to be bound again;—hence ἐναντίως. Some copies read μεταχειριζομένης, and take ἐναντίως in the sense of ἀντικρυς, i. e. *instar Penelopæ tractantis telam;* but the text as supr. is preferable.

Γαλήνην τούτων.] Heindorf refers τούτων, as put for τούτου, to ἀνήνυτον ἔργον πράττειν, κ. τ. λ. preced. — Fischer, more correctly, to τῶν ἡδονῶν καὶ λυπῶν underst.

Ἀεὶ ἐν τούτῳ οὖσα.] *Always engaged in this, sc. the contemplation of truth, &c.;* τούτῳ referring to τὸ ἀληθὲς, κ. τ. λ. seq.—Τὸ ἀδόξαστον, *certain:* V. Cousin; *hors du domaine de l'opinion.* Truth is discerned not by the senses, but by the understanding. The human intellect is employed, either upon things which it comprehends by itself, and which are in their nature simple and invariable, or upon things which are subject to the senses, and are perpetually liable to fluctuation and change. (De Repub. vii. p. 531. 4. Phileb. t. ii. p. 63.) The contemplation of the former creates science, ἐπιστήμη; attention to the latter produces opinion, δόξα. (Cic. Acad. Quest. i. c. 5. Plat. Theæt. i. p. 186.) Sense is the passive perception of the soul through the medium of the body. When the forms of things are, by means of the corporeal organs, so deeply

θεωμένη καὶ ὑπ' ἐκείνου τρεφομένη, ζῇν τε οὕτως οἴεται δεῖν, ἕως ἂν ζῇ, καὶ ἐπειδὰν τελευτήσῃ, εἰς τὸ ξυγγενὲς καὶ εἰς τὸ τοιοῦτον ἀφικομένη ἀπηλλάχθαι τῶν ἀνθρωπίνων κακῶν. ἐκ δὲ τῆς τοιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ, ταῦτά γ' ἐπιτηδεύσασα, ὦ Σιμμία τε καὶ Κέβης, ὅπως μὴ διασπασθεῖσα ἐν τῇ ἀπαλλαγῇ τοῦ σώματος ὑπὸ τῶν ἀνέμων διαφυσηθεῖσα καὶ διαπτομένη οἴχηται καὶ οὐδὲν ἔτι οὐδαμοῦ ᾖ.

§. 35. Σιγὴ οὖν ἐγένετο ταῦτα εἰπόντος τοῦ Σωκράτους ἐπὶ πολὺν χρόνον, καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ Σωκράτης, ὡς ἰδεῖν ἐφαίνετο, καὶ ἡμῶν οἱ πλεῖστοι. Κέβης δὲ καὶ Σιμμίας σμικρὸν πρὸς ἀλλήλω διελεγέσθην. καὶ ὁ Σωκράτης ἰδὼν αὐτὼ ἤρετο, Τί, ἔφη, ὑμῖν τὰ λεχθέντα; μῶν μὴ δοκεῖ

impressed upon the mind, as not to be easily effaced by time, this permanent impression is called memory. From the union of sense and memory, or from the comparison of a present with a recollected perception, arises opinion. Where these agree, the opinion is true; where they differ, it is false. Enf. Phil. ii. c. 8. s. 1. Opinion, then, as being uncertain, from the nature of its origin, and variable in its result, cannot enter into the contemplation of the truth, which can only be regarded in conjunction with what is unerring and divine. It is to be observed, that memory and reminiscence differ in time and in degree: the latter is conversant with the ideas which the soul contemplated before its union with the body, the former with the perceptions to which it became subject after; consequently memory is employed upon sensible things, reminiscence upon the purely intelligible.

Ἐκ δὲ τῆς τοιαύτης τροφῆς.] Sc. Ἀδόξαστης τροφῆς, to which is opposed the δοξαστὴ τροφή, of those souls which were incapable of attaining to philosophy and its results. Cf. in Phædr. p. 345. E. Πᾶσαι δὲ πολὺν ἔχουσαι πόνον, ἀτελεῖς τῆς τοῦ ὄντος θίας ἀπέρχονται· καὶ ἀπελθοῦσαι τροφῇ δοξαστῇ χρῶνται. Wyttenbach arranges and explains the passage as supr. ἐκ δὲ τῆς τοιαύτης τροφῆς, ταῦτα γ' ἐπιτηδεύσασα, οὐδὲν δεινὸν μὴ φοβηθῇ — ὅπως μὴ διασπασθεῖσα, κ. τ. λ. i. e. *Ex tali profecto nutritione, et quum hæc tractaverit, non est verendum ne timeat—ne distracta in discessu a quibusdam ventis dispersa ac difflata evadat, nec quidquam amplius usquam sit.*—Οὐδὲν δεινὸν μὴ φοβηθῇ. Cf. Apol. Socr. c. 16. init. οὐδὲν δὲ δεινὸν μὴ ἐν ἐμοὶ στῇ.

Διαφυσηθεῖσα.] See supr. c. 24. init.

§. 35. Αὐτός τε πρὸς τῷ εἰρημ. λόγ. ἦν.] *Socrates, himself, was engaged in meditation upon*, or, *was occupied in thought with the subject that had been argued.* Cf. Philostr. de Vit. Apollon. v. 31. πρὸς τουτῷ ὅλος εἰμὶ, *I am wholly occupied in this*—such being an ordinary signification of πρὸς with a dative.

Ὡς ἰδεῖν ἐφαίνετο.] *As he appeared to view.* See Matthiæ Gr. s. 535. A similar pleonasm occurs in Tim. p. 535. F. Παντοδαπὴν ἰδεῖν φαίνεσθαι. — Alcib. i. p. 30. E. Φαίνομαι, ὡς ἔοικα.

Τί — ὑμῖν τὰ λεχθέντα.] Intell. δοκεῖ. Cf. Soph. Electr. 766. Ὦ Ζεῦ, τί ταῦτα, πότερον, εὐτυχῆ λέγω; i. e.

ἐνδεῶς λελέχθαι; πολλὰς γὰρ δὴ ἔτι ἔχει ὑποψίας καὶ ἀντιλαβάς, εἴ γε δή τις αὐτὰ μέλλει ἱκανῶς διεξιέναι. εἰ μὲν οὖν τι ἄλλο σκοπεῖσθον, οὐδὲν λέγω· εἰ δὲ περὶ τούτων ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ αὐτοὶ εἰπεῖν καὶ διεξελθεῖν, εἴ πῃ ὑμῖν φαίνεται βέλτιον λεχθῆναι, καὶ αὖ καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μαλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Καὶ ὁ Σιμμίας ἔφη, Καὶ μήν, ὦ Σώκρατες, τἀληθῆ σοι ἐρῶ. πάλαι γὰρ ἡμῶν ἑκάτερος ἀπορῶν τὸν ἕτερον προωθεῖ καὶ κελεύει ἐρέσθαι διὰ το ἐπιθυμεῖν μὲν ἀκούσαι, ὀκνεῖν δὲ ὄχλον παρέχειν, μή σοι ἀηδὲς ᾖ διὰ τὴν παροῦσαν ξυμφοράν. Καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα καὶ φησι, Βαβαί, ὦ Σιμμία· ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους πείσαιμι ἀνθρώπους ὡς οὐ ξυμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτε γε μηδ' ὑμας δύναμαι πείθειν, ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι ἢ ἐν τῷ πρόσθεν βίῳ. καὶ ὡς ἔοικε, τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ

τί ταῦτα λέγω, πότερον εὐτ.—Μῶν μὴ δοκεῖ,—μῶν, an Attic particle of interrogation, in Latin *an forte*, is occasionally joined with each of its component parts, with μὴ pleonastically, and commonly the question asked with it as well as with μὴ, involve a negation. Seag. Vig. de Id. c. vii. s. 9. r. 3.

Εἴ πῃ ὑμῖν φαίνεται βέλτ. λεχ. *If it appears to you in any degree that it could be better expressed;* where ἂν would seem to be required before λεχθῆναι, but it is not unusually omitted in the case of other moods to which it gives the force of the optative or conjunctive.

Τὸν ἕτερον προωθεῖ.] Cf. Aristænet. Ep. i. 24. init. Ἄρτι παρ' ἐμοὶ συναθροισθέντες οἱ κορυφαῖοι τῶν ἐμῶν ἐραστῶν, τὸ μὲν πρῶτον ἐσίγων· καὶ ἄλλος τὸν ἄλλον προώθει, κελεύων διεξελθεῖν πρὸς ἐμὲ τὰ μελετηθέντα πᾶσι κοινῇ.

Ὄχλον παρέχειν.] *To give trouble.* Lex. Coislin. p. 483. Ὄχλος ἐπὶ τῆς ὀχλήσεως φασι θετέον εἶναι, οὐκ ἐπὶ πλήθους. Phavor. Ὄχλος· ἡ ὀχλήσις, παρὰ τοῖς Ἀττικοῖς· παρὰ δὲ τῇ θείᾳ γραφῇ, καὶ τοῖς ἄλλοις Ἕλλησι, τὸ πλῆθος τοῦ λαοῦ· Piers. ad. Mœrin. p. 290.

Ἐγέλασε τε—καί φησι.] Heindorf compares with this construction of the present with the aorist, Eurip. Iph. T. 16. Εἰς ἔμπυρ' ἦλθε καὶ λέγει Κάλχας τάδε. Soph. Electr. 897. Ἰδοῦσα δ' ἔσχον θαῦμα καὶ περισκοπῶ. Trach. 767. Ἰδρὼς ἀνῆει χρωτὶ καὶ προσπτύσσεται. See Matthiæ Gr. s. 504.

Ἦ που]—Serves, sometimes, the purpose of assuring, but so that που somewhat moderates the assurance contained in ἦ; *certainly, if I mistake not.* — Matthiæ Gr. s. 604.

Ὅτε γε.] *Since indeed.*

Μὴ δυσκ.—διάκειμαι.] See Matthiæ Gr. s. 240. κειμαι. s. 520. Obs. 2.

Τῶν κύκνων.] Cf. Horat. Od. ii. 20. Ovid. Heroid. Ep. vii. 1. "Sic ubi fata vocant, udis abjectus in herbis Ad vada Mæandri concinit albus olor." Cic. Tusc. i. 30. "Itaque commemorat (So-

ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ τότε δὴ πλεῖστα καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗ πέρ εἰσι θεράποντες. οἱ δὲ ἄνθρωποι διὰ τὸ αὐτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται, καὶ φασὶν αὐτοὺς θρηνοῦντας τὸν θάνατον ὑπὸ λύπης ἐξᾄδειν, καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅταν πεινῇ ἢ ῥιγοῖ ἤ τινα ἄλλην λύπην λυπῆται, οὐδὲ αὐτὴ ἥ τε ἀηδὼν καὶ ἡ χελιδὼν καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν· ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν οὔτε οἱ κύκνοι, ἀλλ' ἅτε, οἶμαι, τοῦ Ἀπόλλωνος ὄντες μαντικοί τ' εἰσὶ καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. Ἐγὼ δὲ καὶ αὐτὸς ἡγοῦμαι ὁμόδουλός τε εἶναι τῶν κύκνων καὶ ἱερὸς τοῦ αὐτοῦ θεοῦ, καὶ οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν παρὰ τοῦ δεσπότου, οὐδὲ δυσθυμότερον αὐτῶν τοῦ

crates,) ut cygni, qui non sine causa Apollini dicati sint, sed quod ab eo divinationem habere videantur, qua providentes quid in morte boni sit, cum cantu et voluptate moriantur; sic omnibus bonis et doctis (i. e. philosophis) esse faciendum." Ælian. Nat. Hist. v. 34.—Ὁ κύκνος μελῳδεῖ τινα ἐπικήδειον αὐτῷ μοῦσαν, ἐφόδια διδοὺς τῆς ἀποδημίας ἢ θεῶν ὕμνους, ἢ ἔπαινον οἰκεῖον τινα, μαρτυρεῖ δὲ αὐτῷ καὶ ὁ Σωκράτης, ὅτι ᾄδει οὐ λυπούμενος, ἀλλ' εὐθυμούμενος μᾶλλον. Vid. I. H. Voss. Epistol. Mythol. Br. t. ii. p. 98. Martial. Epigr. xiii. 77. and infr. οἱ κύκνοι—μαντικοι.

Οὗ πέρ εἰσι θεράποντες.] Infr. τοῦ Ἀπόλλωνος ὄντες.

Τῶν κύκνων καταψεύδονται.] *Belie the swans.* Cf. Legg. vii. p. 821. B. καταψευδόμεθα—μεγάλων θεῶν. See Matthiæ Gr. s. 378.

Ἐξᾴδειν.] Explained by Stephens, *to sing for the last time, to take leave of their art of song;* by Heindorf, *to sing out life,* i. e. *to die by singing,* or *die singing.* Serranus attributes to the ἐξ an intensive force, as in ἐκδιδάσκειν, ἐξευρεῖν, ἐκσώζειν, ἐκπίνειν; and like that of the Latin *de,* in *decanto, desævio, detono,* and renders the term *vehementius canere,* comparing ᾄδουσί—διαφερόντως, infr.

Ἅ δή φασι.] In reference to the fabled metamorphoses of Tereus, Procne, and Philomela.

Μαντικοί.] Oppian Cyneg. ii. 547. s. Οὐκ ἄρα τοι μούνοισιν ἐν ὀρνίθεσσιν ἔασι Κύκνοι μαντιπόλοι γόον ὕστατον ἀείδοντες. Æschyl. Agam. 1453. ἡ δέ τοι κύκνου δίκην, Τὸν ὕστατον μέλψασα θανάσιμον γόον. — whence the language of one at the near approach of death was called κύκνειον ᾆσμα. Cic. Orat. iii. 2. *Cycnea.*

Διαφερόντως ἢ.] *Rather than.* See Matthiæ Gr. s. 366. Obs. 2.

Ὁμόδουλός — τῶν κύκνων.] See Matthiæ Gr. s. 405. Obs. 1.—Ἱερὸς τοῦ αὐτοῦ θεοῦ. Matthiæ Gr. s. 315. 1.

Οὐ χεῖρον—τὴν μαντικὴν.] See Apol. Socr. c. 30. Ἐν ᾧ μάλιστα ἂν-

βίου ἀπαλλάττεσθαι. ἀλλὰ τούτου γε ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾷν ὅ τι ἂν βούλησθε, ἕως ἂν οἱ Ἀθηναίων ἐῶσιν ἄνδρες ἔνδεκα. Καλῶς, ἔφη, λέγεις, ὁ Σιμμίας· καὶ ἐγώ τέ σοι ἐρῶ ὃ ἀπορῶ, καὶ αὖ ὅδε, ἢ οὐκ ἀποδέχεται τὰ εἰρημένα. ἐμοὶ γὰρ δοκεῖ, ὦ Σώκρατες, περὶ τῶν τοιούτων ἴσως ὡς περ καὶ σοί, τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ ἢ ἀδύνατον εἶναι ἢ παγχάλεπόν τι, τὸ μέντοι αὖ τὰ λεγόμενα περὶ αὐτῶν μὴ οὐχὶ παντὶ τρόπῳ ἐλέγχειν καὶ μὴ προαφίστασθαι πρὶν ἂν πανταχῇ σκοπῶν ἀπείπῃ τις, πάνυ μαλθακοῦ εἶναι ἀνδρός· δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι, ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν, ἢ εἰ ταῦτα ἀδύνατον, τὸν γοῦν βέλτιστον τῶν ἀνθρωπίνων λόγων λαβόντα καὶ δυσεξελεγκτότατον, ἐπὶ τούτου ὀχούμενον, ὥς περ ἐπὶ σχεδίας κινδυνεύοντα, διαπλεῦσαι τὸν βίον, εἰ μή τις δύναιτο ἀσφαλέστερον

θρωποι χρησμῳδ.—Παρὰ τοῦ δεσπότου, sc. Apollo.

Ὃ ἀπορῶ.] h. e. Περὶ οὗ ἀπορῶ.

Τὸ μὲν σαφὲς εἰδέναι ἐν τῷ νῦν βίῳ, κ. τ. λ.] Cf. St. Paul. Corinth. i. c. 13. 12.

Καὶ μὴ προαφίστασθαι.] Added in explanation of παντὶ τρόπῳ ἐλέγχειν preced. whence the passage might have been arranged so—παντὶ τρόπῳ ἐλέγχειν μὴ προαφισταμένους πρὶν ἂν π. &c. Stephens and Forster would omit μή, which, however, is more correctly retained and explained by Fischer and Heindorf, as supr.—Ἀπειπεῖν, ἀπαυδᾶν, and ἀπαγορεύειν, as Stallbaum observes, are used in reference to those who are wearied and exhausted in pursuit of an object, which it is either difficult or impossible to attain.

Ἢ μαθεῖν ὅπῃ ἔχει ἢ εὑρεῖν.] i. e. *Either to learn from others, or to find out, upon investigation, by one's self.* Μανθάνειν occurs frequently also in the sense attributed to εὑρειν here, but it is properly used with reference to διδάσκειν, *to teach.* Hence the three methods of acquiring knowledge, by learning, invention, and inspiration, as Soph. apud. Plutarch. de Fortuna. p. 98. A. τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ Ζητῶ· Τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.

Τῶν ἀνθρωπίνων λόγων.] h. e. *Inter rationes et argumenta, quæ humano ingenio excogitata et inventa sunt.*—Stall. — to which is opposed λόγον θείου τινὸς infr.

Ὡς περ ἐπὶ σχεδίας.] Cf. Cic. Tusc. i. 30. "Itaque dubitans, circumspectans, hæsitans multa adversa reverens, tanquam ratis in mari immenso, nostra vehitur oratio." This metaphor is taken from the Greek adage, ἐπ' ἐλπίδος ὀχεῖσθαι. v. Plat. Legg. iii. p. 59. C. ἐπὶ δὲ τῆς ἐλπίδος ὀχούμενοι ταύτης εὕρισκον καταφυγὴν αὐτοῖς εἰς αὐτοὺς μόνους εἶναι καὶ τοὺς θεούς. Some idea of risk or hazard is implied in κινδυνεύοντα, as if the very best of human reasonings were still an uncertain vessel to embark in and traverse the sea of life. Hence ἀσφαλέστερον καὶ ἀκινδυνότερον, &c. as applied to the more steady and unerring vehicle, the reason inspired from above. On the phrase διαπλεῦσαι τὸν βίον, see Wesseling ad. Herodot. v. 6. p. 422. Toup. ad Suid. i. p. 20.

καὶ ἀκινδυνότερον ἐπὶ βεβαιοτέρου ὀχήματος ἢ λόγου θείου τινὸς διαπορευθῆναι. Καὶ δὴ καὶ νῦν ἔγωγε οὐκ ἐπαισχυνθήσομαι ἐρέσθαι, ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις, οὐδὲ ἐμαυτὸν αἰτιάσομαι ἐν ὑστέρῳ χρόνῳ ὅτι νῦν οὐκ εἶπον ἃ ἐμοὶ δοκεῖ. ἐμοὶ γάρ, ὦ Σώκρατες, ἐπειδὴ καὶ πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ τὰ εἰρημένα, οὐ πάνυ φαίνεται ἱκανῶς εἰρῆσθαι.

§. 36. *Καὶ ὁ Σωκράτης, Ἴσως γάρ, ἔφη, ὦ ἑταῖρε, ἀληθῆ σοι φαίνεται· ἀλλὰ λέγε ὅπῃ δὴ οὐχ ἱκανᾶς.*

Ἢ λόγου θείου τινὸς.] Heindorf woul omit ἢ ; but it may be retained in a similar sense to that in which it is used in Criton. c. 3. init. *ταύτης δόξα, ἣ δοκεῖν*. Seag. Viger. c. vii. s. 7. r. 2.— *Θείου* is to be understood here in the sense of *θεσπέσιου*, or *θείᾳ μοίρᾳ προσγενόμενον*. It is scarcely necessary to say that there is no foundation for the conjectures of those who have understood the above passage as containing an implied reference to Holy Writ.— The idea, to say no more, involves, in the first instance, a misapprehension of the sense in which λόγος is used in the text.

Ἐπειδὴ καὶ σὺ ταῦτα λέγεις.] i. e. *Especially since you yourself advise me to it.*

Πρὸς ἐμαυτὸν καὶ πρὸς τόνδε σκοπῶ.] h. e. *Quando et mecum hæc animo reputo, et cum hoc una considero.*— STALL.

§. 36. Καὶ ὁ Σωκράτης, κ. τ. λ.] Socrates now proceeds to meet the objections which he had encouraged Simmias and Cebes to advance against the conclusion at which he had arrived from the preceding part of the discussion. Simmias asserts that the faculty of thought might be a quality of body, arising from the due disposition of its several affections, heat, cold, moisture, and dryness, in the same way that concord results from a well-tuned lyre ; in other words, that *the mind is a harmony*, which ceases to exist upon the decease of the body and the dispersion of its particles, as the music of the lyre is destroyed when the chords are broken and the instrument past use, a doctrine held by Parmenides Zeno, and others. — Cebes, using a different image, argues to a similar effect against the soul's surviving the body. V. Cousin sums up the argument and its answer, Œuv. Plat. i. p. 160. " Mais si l'ame n'etait qu'un être collectif, un résultat, une relation, l'harmonie d'une lyre ! l'harmonie aussi ne semble-t-elle pas quelque chose de simple, d'invisible, de fixe, et pourtant elle se dissipe quand la lyre et les cordes sont brisées ! Non, l'ame qui préexiste substantiellement a son apparition sous cette forme corporelle, l'ame ne peut être la collection, le resultat, la relation, l'harmonie de parties qu'elle précède. D'ailleurs une collection, un resultat, un rapport n'ont pas d'essence propre, et n'existent recellement que dans les élémens qui les constituent, tandis que l'ame sait et sent qu'elle a une existence à soi. Enfin la force de toute composition est dans l'accord le plus intime de ses composans ; la force de l'ame au contraire est de se separer violemment de plusieurs de ses pretendues elemens, et de leur faire la guerre. L'ame n'est donc ni une collection, ni un résultat, ni une relation ; c'est une unité individuelle, subsistante par ellemême." Hence the conclusion to which those who subsequently adopted this doctrine of Plato have justly arrived, that the faculty of thought cannot be inherent in the body, as being that whose every action and passion depend upon the change and motion of its component parts.

Οὐκ ἱκανῶς.] *Inadequately.*

Ταύτῃ ἔμοιγε, ἦ δ' ὅς, ἦ δὴ καὶ περὶ ἁρμονίας ἄν τις καὶ λύρας τε καὶ χορδῶν τὸν αὐτὸν τοῦτον λόγον εἴποι, ὡς ἡ μὲν ἁρμονία ἀόρατόν τι καὶ ἀσώματον καὶ πάγκαλόν [τι] καὶ θεῖόν ἐστιν ἐν τῇ ἡρμοσμένῃ λύρᾳ, αὐτὴ δ' ἡ λύρα καὶ αἱ χορδαὶ σώματά τε καὶ σωματοειδῆ καὶ ξύνθετα καὶ γεώδη ἐστὶ καὶ τοῦ θνητοῦ ξυγγενῆ. ἐπειδὰν οὖν ἢ κατάξῃ τις τὴν λύραν ἢ διατέμῃ ἢ καὶ διαῤῥήξῃ τὰς χορδάς, εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥς περ σύ, ὡς ἀνάγκη ἔτι εἶναι τὴν ἁρμονίαν ἐκείνην καὶ μὴ ἀπολωλέναι· οὐδεμία γὰρ μηχανὴ ἂν εἴη τὴν μὲν λύραν ἔτι εἶναι διεῤῥωγυιῶν

Ἦι δὴ καὶ περὶ ἁρμονίας.] i. e. *So far as any one could advance the same argument, in respect to a lyre, &c.*

Ἡρμοσμένῃ λύρᾳ.] *A well-tuned lyre.*

Ἐπειδὰν οὖν κατάξῃ.] From this to πρίν τι ἐκείνην παθεῖν contains the protasis to which is subjoined a parenthesis, καὶ γὰρ οὖν, ὦ Σώκρ.—ἢ κατασαπῇ; then the apodosis is introduced ὅρα οὖν πρὸς τοῦτον τὸν λόγ. where οὖν, as usually, renews the interrupted sense. HEIND.

Ὡς περ σύ.] Fischer, following Forster, reads ᾧπερ, incorrectly. Cf. Priscian. xviii. p. 1195. "Demosthenes ἐν τῷ πρώτῳ Φιλιππικῷ, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δικαζόμενοι, ἀντὶ τοῦ ὅνπερ." Plat. Legg. p. 671. C. Τοῦτον δὲ εἶναι τὸν πλάστην τὸν αὐτὸν ὥσπερ τότε. Sophoc. Electr. 532. οὐκ ἴσον καμὼν ἐμοὶ Αὔπης, ὅτ' ἐσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ. Lys. pro. Aristoph. bon. p. 637. ἡγοῦντο καὶ τὰ ἐκεῖ ὅμως σφίσιν εἶναι ἴσα ὥσπερ καὶ τὰ ἐνθάδε. See Matthiæ Gr. s. 629.

Οὐδεμία γὰρ μηχανὴ ἂν εἴη.] The sense of this passage and the context is somewhat involved, and it may be well to develope it more largely and clearly. Simmias objects to the proofs deduced by Socrates, from the nature and connexion of the soul and body, of the immortality of the former, by shewing that in the supposed analogous case of a lyre, and the harmony which results from its being sound and in tune, a similar train of reasoning cannot hold good. The harmony, which is analogous to the soul is invisible, incorporeal, perfectly beautiful and divine, when the instrument is in order; the lyre itself, and its chords, are typical of the body, being actual bodies, consequently partaking of their nature, compound, terrestrial, and allied to mortality. Should one break the lyre, cut or rend its strings, according to the mode of argument adopted by Socrates, one would say that the harmony still existed and had not been destroyed. For it could not be possible that the lyre in its broken and imperfect state should continue to exist, and that the strings, after they had been cut or rent, should still obviously though uselessly exist, while the harmony, of the same nature with, and congenial to the immortal and divine, should disappear, having perished previous to that which was mortal, and naturally subject to decay. But one should assert that the harmony, of necessity, existed somewhere, and that the frame and chords of the instrument ought to be utterly decayed before any such affection could befal the harmony itself. Here, then, was the difficulty arising from the argument of Socrates. If the soul was a harmony, resulting from the due adjustment of the bodily affections, it is plain that like the harmonies of music, or of the other works of art, it could not exist when the body had been too much relaxed or overstrained; but the bodily relics still continued to exist for a long

τῶν χορδῶν καὶ τὰς χορδὰς θνητοειδεῖς οὔσας, τὴν δὲ ἁρμονίαν ἀπολωλέναι τὴν τοῦ θείου τε καὶ ἀθανάτου ὁμοφυᾶ τε καὶ ξυγγενῆ, προτέραν τοῦ θνητοῦ ἀπολομένην· ἀλλὰ φαίη ὡς ἀνάγκη ἔτι που εἶναι αὐτὴν τὴν ἁρμονίαν, καὶ πρότερον τὰ ξύλα καὶ τὰς χορδὰς κατασαπήσεσθαι πρίν τι ἐκείνην παθεῖν, καὶ γὰρ οὖν, ὦ Σώκρατες, οἶμαι ἔγωγε καὶ αὐτόν σε τοῦτο ἐντεθυμῆσθαι, ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥς περ ἐντεταμένου τοῦ σώματος ἡμῶν καὶ ξυνεχομένου ὑπὸ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ καὶ τοιούτων τινῶν κρᾶσιν εἶναι καὶ ἁρμονίαν αὐτῶν τούτων τὴν ψυχὴν ἡμῶν, ἐπειδὰν ταῦτα καλῶς καὶ μετρίως κραθῇ πρὸς ἄλληλα. εἰ οὖν τυγχάνει ἡ ψυχὴ οὖσα ἁρμονία τις, δῆλον ὅτι ὅταν χαλασθῇ τὸ σῶμα ἡμῶν ἀμέτρως ἢ ἐπιταθῇ ὑπὸ νόσων καὶ ἄλλων κακῶν, τὴν μὲν ψυχὴν ἀνάγκη εὐθὺς ὑπάρχει ἀπολωλέναι, καί περ οὖσαν θειοτάτην, ὥς περ καὶ αἱ ἄλλαι ἁρμονίαι αἱ τ' ἐν τοῖς φθόγγοις καὶ αἱ ἐν τοῖς τῶν δημιουργῶν ἔργοις πᾶσι, τὰ δὲ λείψανα τοῦ σώματος ἑκάστου πολὺν χρόνον παραμένειν,

time, until consumed by fire, or wasted by decay, in other words, the corporeal evidently survived the spiritual, which could not be the case if the previous conclusions of Socrates were adequate and just.

Τοῦτο ἐντεθυμῆσθαι.] h. e. *Tecum reputasse, ita ut in animo tuo quasi resideat hujus rei cogitatio.* STALL.

Ὡς περ ἐντεταμένου τοῦ σώματος.] Cf. Aristot. de Anim. i. 4. Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, πιθανὴ μὲν πολλοῖς, καὶ οὐδεμιᾶς ἧττων τῶν λεγομένων· λόγους δὲ ὥσπερ εὐθύνας δεδωκυῖα καὶ ἐν τοῖς ἐν κοινῷ γινομένοις λόγοις· ἁρμονίαν γάρ τινα αὐτήν τινες λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσίν τινα ἐναντίων εἶναι· καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων. Lucret. iii. 98. 105. "Multa quidem sapientum turba putarunt Sensum animi certa non esse parte locatum; Verum Habitum quendam vitalem corporis esse, Harmoniam Græci quam dicunt; quod faciat nos vivere cum sensu, nulla cum in parte siet Mens: Ut bona sæpe Valetudo cum dicitur esse Corporis, et non est tamen hæc pars ulla valentis." This doctrine, though somewhat diversified in its aspect, was held nearly in common by all the schools of Greek philosophy, whence Simmias, h. l. μάλιστα ὑπολαμβάνομεν, &c. not ὑπολαμβάνουσί τινες, and Aristotle in loc. cit. supr. ἐν κοινῷ γινομένοις λόγοις. It does not appear to which of the philosophers prior to Plato this opinion is to be attributed. It was subsequently appropriated by Aristotle and his followers, Dicæarchus of Messene, and Aristoxenus of Tarentum, the musician.

Κρᾶσιν εἶναι καὶ ἁρμονίαν.] Nemes. de Nat. Hom. ii. p. 41. Δικαίαρχος δὲ

ἕως ἂν ἢ κατακαυθῇ ἢ κατασαπῇ. ὅρα οὖν πρὸς τοῦτον τὸν λόγον τί φήσομεν, ἐάν τις ἀξιοῖ κρᾶσιν οὖσαν τὴν ψυχὴν τῶν ἐν τῷ σώματι ἐν τῷ καλουμένῳ θανάτῳ πρώτην ἀπόλλυσθαι.

§. 37. Διαβλέψας οὖν ὁ Σωκράτης, ὥς περ τὰ πολλὰ εἰώθει, καὶ μειδιάσας Δίκαια μέντοι, ἔφη, λέγει ὁ Σιμμίας. εἰ οὖν τις ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; καὶ γὰρ οὐ φαύλως ἔοικεν ἁπτομένῳ τοῦ λόγου. δοκεῖ μέντοι μοι χρῆναι πρὸ τῆς ἀποκρίσεως ἔτι πρότερον Κέβητος ἀκοῦσαι, τί αὖ ὅδε ἐγκαλεῖ τῷ λόγῳ, ἵνα χρόνου ἐγγενομένου βουλευσώμεθά τί ἐροῦμεν, ἔπειτα ἀκούσαντας ἢ ξυγχωρεῖν αὐτοῖς, ἐάν τι δοκῶσι προσᾴδειν· ἐὰν δὲ μή, οὕτως ἤδη ὑπερδικεῖν τοῦ λόγου. ἀλλ' ἄγε, ἦ δ' ὅς, ὦ Κέβης, λέγε τί ἦν ὃ σὲ αὖ θρᾶττον ἀπιστίαν παρέχει. Λέγω δή, ἦ δ' ὃς ὁ Κέβης. ἐμοὶ γὰρ φαίνεται ἔτι ἐν τῷ αὐτῷ ὁ λόγος εἶναι, καὶ ὅ περ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ταὐτὸν ἔγκλημα ἔχειν. ὅτι μὲν γὰρ ἦν ἡμῶν ἡ ψυχὴ καὶ πρὶν εἰς τόδε τὸ εἶδος ἐλθεῖν, οὐκ ἀνατίθε-

ἁρμονίαν τῶν τεσσάρων στοιχείων· οὐ γὰρ τὴν ἐκ φθόγγων συνισταμένην, ἀλλὰ τὴν ἐν τῷ σώματι θερμῶν καὶ ὑγρῶν καὶ ψυχρῶν καὶ ξηρῶν ἐναρμόνιον κρᾶσιν καὶ συμφωνίαν βούλεται λέγειν. So Zeno, apud. Diog. Laert. ix. 29. γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν· γενεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι· καὶ τὴν ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων κατὰ μηδενὸς τούτων ἰσπεράτησιν.

§. 37. Μέντοι.] Used emphatically, h. l. in affirmation, as the Latin *vero, indeed, in truth.* c. 13. supr. init. c. 18. sub. fin.

Ἁπτομένῳ τοῦ λόγου.] i. e. *Seems to have impugned the justice of the argument with no mean success*—this sense being attributed to ἁπτομένῳ, supr. in consequence of τί αὖ ὅδε ἐγκαλεῖ τῷ λόγῳ seq. as applied to the objection of Cebes.

Ἔπειτα ἀκούσαντας.] Vulg. ἔπειτα δὲ—but both εἶτα and ἔπειτα occur in numerous instances without the particle, the latter almost always, even when πρῶτον μέν precedes. HEIND.

Προσᾴδειν.] i. e. *If they seem to speak reasonably*; προσᾴδειν being used here in the sense of λέγειν τι, *aliquid veri firmique dicere.* WYTT.—the term being applied as supr. in reference to the nature of the subject in dispute. Cf. infr. c. 41. Οὗτος οὖν σοὶ ὁ λόγος ἐκείνῳ πῶς συνᾴσεται· καὶ μήν—πρέπει γε, εἴπερ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας.

Ὑπερδικεῖν τοῦ λόγου.] *To defend* or *support the argument.*

Θρᾶττον.] Att. for θρᾶσσον i. q. ταράσσον: th. ταράσσω.

Ἔτι ἐν τῷ αὐτῷ—εἶναι.] i. q. Οὐ προκεχωρηκέναι, i. e. *to have made no advances towards being established as a truth; to remain in the same place, or be liable to the same objections as before.*

Εἰς τόδε τὸ εἶδος.] Sc. ἀνθρώπινον.

μαι μὴ οὐχὶ πάνυ χαριέντως, καὶ εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν, πάνυ ἱκανῶς ἀποδεδεῖχθαι· ὡς δὲ καὶ ἀποθανόντων ἡμῶν ἔτι που ἔστιν, οὔ μοι δοκεῖ τῇδε. ὡς μὲν οὐκ ἰσχυρότερον καὶ πολυχρονιώτερον ψυχὴ σώματος, οὐ ξυγχωρῶ τῇ Σιμμίου ἀντιλήψει· δοκεῖ γάρ μοι πᾶσι τούτοις πάνυ πολὺ διαφέρειν. Τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς, ἐπειδή γε ὁρᾷς ἀποθανόντος τοῦ ἀνθρώπου τό γε ἀσθενέστερον ἔτι ὄν; τὸ δὲ πολυχρονιώτερον οὐ δοκεῖ σοι ἀναγκαῖον εἶναι ἔτι σώζεσθαι ἐν τούτῳ τῷ χρόνῳ; πρὸς δὴ τοῦτο τόδε ἐπίσκεψαι εἴ τι λέγω· εἰκόνος γάρ τινος, ὡς ἔοικε, κἀγὼ ὥς περ Σιμμίας δέομαι. ἐμοὶ γὰρ δοκεῖ ὁμοίως λέγεσθαι ταῦτα, ὥς περ ἄν τις περὶ ἀνθρώπου ὑφαντου

Cf. c. 21. supr. ἐν ἀνθρώπου εἴδει.

Οὐκ ἀνατίθεμαι.] *I do not retract*, or, *change my opinion*. The term is frequently used by Plato in this sense, in Menon. p. 89. D. Protagor. p. 211. E. Charmid. p. 240. It is properly applied to players at draughts; Suid. Ἀναθέσθαι· τὸ μεταθέσθαι· ἀπὸ τῶν πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων· — σημαίνει ἡ λέξις — τὸ μεταβουλεύεσθαι καὶ μεταγνῶναι. πολύ ἐστι παρὰ Πλάτωνι φιλοσόφῳ.

Εἰ μὴ ἐπαχθὲς ἐστιν εἰπεῖν.] *If it is not too fulsome*, &c. — ἐπαχθὴς being affirmed of any praise or commendation which is so intemperately and injudiciously bestowed as to disgust not only the auditors, but the object of it. Cf. Plutarch. de Sui Laude, p. 54. F.— τοὺς ἑαυτῶν ἐπαίνους—τινὰς ἐλλείψεις ἢ ἀποτεύξεις ἢ ἁμαρτίας ἐλαφρὰς ἐκβάλλοντες, ἀφαιροῦσι τὸ ἐπαχθὲς αὐτῶν καὶ νεμεσητόν.

Οὔ μοι δοκεῖ τῇδε.] Intell. ἱκανῶς ἀποδεδεῖχθαι.

Ὡς μὲν οὐκ ἰσχυρότερον, κ. τ. λ.] Cebes does not agree with Simmias as to the relative strength and durability of the soul and body, but upholds, in either respect, the superiority of the former.

Ἂν φαίη ὁ λόγος.] Sc. the argument personified.

Ἐμοὶ γὰρ δοκεῖ, κ. τ. λ.] The objection of Cebes to the argument of Socrates was, that it did not prove the immortality of the soul, although it might have established its pre-existence and other advantages over the body, but was still liable to the exception, that after it had survived several bodies, the soul might eventually perish itself. Cebes uses, as an illustration, the case of an aged deceased weaver, of whom, according to Socrates, it might be affirmed that he was yet alive somewhere, because the garment which he wove and wore had continued to exist after he had died. And this objection might be fairly advanced, even by those who admitted the superiority of the nature of man above that of the garment, because the weaver, it is to be supposed, had, during a long life, wrought and worn out several habits, although he had been survived by the last. So that one would be easily justified in still asserting the garment to be, in its nature and quality, inferior to and frailer than the man. Thus with the soul and body, the former of which one might reasonably admit to excel the latter, inasmuch as it survived several bodies, more or less, according to the longer or shorter term of its own existence, and yet this would not interfere with its being destroyed at last, and consequently perishing before the relics of the last body it inhabited had mouldered in decay. Hence one could not encounter death with a courage and a

πρεσβύτου ἀποθανόντος λέγοι τοῦτον τὸν λόγον, ὅτι οὐκ ἀπόλωλεν ὁ ἄνθρωπος ἀλλ' ἔστι που ἴσως, τεκμήριον δὲ παρέχοιτο θοιμάτιον ὃ ἠμπείχετο αὐτὸς ὑφηνάμενος, ὅτι ἔστι σῶν καὶ οὐκ ἀπόλωλε, καὶ εἴ τις ἀπιστοῖ αὐτῷ, ἀνερωτῴη πότερον πολυχρονιώτερόν ἐστι τὸ γένος ἀνθρώπου ἢ ἱματίου ἐν χρείᾳ τε ὄντος καὶ φορουμένου, ἀποκριναμένου δέ τινος ὅτι πολὺ τὸ τοῦ ἀνθρώπου, οἴοιτο ἀποδεδεῖχθαι ὅτι παντὸς ἄρα μᾶλλον ὅ γε ἄνθρωπος σῶς ἐστίν, ἐπειδὴ τό γε ὀλιγοχρονιώτερον οὐκ ἀπόλωλε. Τὸ δ' οἶμαι, ὦ Σιμμία, οὐχ οὕτως ἔχει· σκόπει γὰρ καὶ σὺ ἃ λέγω. πᾶς γὰρ ἂν ὑπολάβοι ὅτι εὖηθες λέγει ὁ τοῦτο λέγων. ὁ γὰρ ὑφάντης οὗτος πολλὰ κατατρίψας τοιαῦτα ἱμάτια καὶ ὑφηνάμενος ἐκείνων μὲν ὕστερος ἀπόλωλε πολλῶν ὄντων, τοῦ δὲ τελευταίου, οἶμαι, πρότερος, καὶ οὐδέν τι μᾶλλον τούτου ἕνεκα ἄνθρωπός ἐστιν ἱματίου φαυλότερον οὐδ' ἀσθενέστερον. τὴν αὐτὴν δὲ ταύτην, οἶμαι, εἰκόνα δέξαιτ' ἂν ψυχὴ πρὸς σῶμα, καί τις λέγων αὐτὰ ταῦτα περὶ αὐτῶν μέτρι' ἄν μοι φαίνοιτο λέγειν, ὡς ἡ μὲν ψυχὴ πολυχρόνιόν ἔστι, τὸ δὲ σῶμα ἀσθενέστερον καὶ ὀλιγοχρονιώτερον. ἀλλὰ γὰρ ἂν φαίη ἑκάστην τῶν ψυχῶν πολλὰ σώματα κατατρίβειν, ἄλλως τε καὶ εἰ πολλὰ ἔτη βιώῃ· εἰ γὰρ ῥέοι τὸ σῶμα καὶ ἀπολλύοιτο ἔτι ζῶντος τοῦ ἀνθρώπου, ἀλλ' ἡ ψυ-

confidence arising from a secure belief in the immortality of the soul, for he could not tell but that the body, which was then itself on the eve of dissolution, was also that which was to be accompanied by the death of the soul.

Περὶ αὐτῶν.] Sc. ψυχῆς καὶ σώματος.—μέτρι' ἂν μοι, i. e. *rightly, correctly, suitably to reason.* Cf. in Criton. c. 6. a med. μετριώτατα σκοποίμεθα.

Ἀλλὰ γὰρ ἂν φαίη.] Intell. ὁ λέγων ταῦτα περὶ αὐτῶν.

Εἰ γὰρ ῥέοι τὸ σῶμα, κ. τ. λ.] i. e. If, while a man is still living, the body is liable to change and waste, and the soul weaves, as it were, anew what had completely decayed, or, in other words, if it uses one body after another, it should follow of course that when the soul perished, it should do so prior to its last tenement only, which would still evince its inferiority, for on the destruction of the soul, it would give evidence of its weakness by a speedy dissolution. — Hence, according to Cebes, it would appear that the greater strength and durability of the soul, and its being necessary to the continued existence of the body, cannot be trusted to as an argument against its own final dissolution, which may take place previous to the

χὴ ἀεὶ τὸ κατατριβόμενον ἀνυφαίνοι, ἀναγκαῖον μέντ' ἂν εἴη, ὁπότε ἀπολλύοιτο ἡ ψυχή, τὸ τελευταῖον ὕφασμα τυχεῖν αὐτὴν ἔχουσαν καὶ τούτου μόνου προτέραν ἀπόλλυσθαι· ἀπολομένης δὲ τῆς ψυχῆς τότ' ἤδη τὴν φύσιν τῆς ἀσθενείας ἐπιδεικνύοι τὸ σῶμα καὶ ταχὺ σαπὲν διοίχοιτο. Ὥστε τούτῳ τῷ λόγῳ οὔπω ἄξιον πιστεύσαντα θαῤῥεῖν, ὡς ἐπειδὰν ἀποθάνωμεν, ἔτι που ἡμῶν ἡ ψυχὴ ἔστιν. εἰ γάρ τις καὶ πλέον ἔτι τῷ λέγοντι ἢ ἃ σὺ λέγεις ξυγχωρήσειε, δοὺς αὐτῷ μὴ μόνον ἐν τῷ πρὶν καὶ γενέσθαι ἡμᾶς χρόνῳ εἶναι ἡμῶν τὴν ψυχήν, ἀλλὰ μηδὲν κωλύειν, καὶ ἐπειδὰν ἀποθάνωμεν, ἐνίων ἔτι εἶναι καὶ ἔσεσθαι καὶ πολλάκις γεγήσεσθαι καὶ ἀποθανεῖσθαι αὖθις· οὕτω γὰρ αὐτὸ φύσει ἰσχυρὸν εἶναι, ὥστε πολλάκις γιγνομένην ψυχὴν ἀντέχειν· δοὺς δὲ ταῦτα ἐκεῖνο μηκέτι συγχωροίη, μὴ οὐ πονεῖν αὐτὴν ἐν ταῖς πολλαῖς γενέσεσι καὶ

corruption of one, and that the last body it may dwell in.

Τὴν φύσιν τῆς ἀσθενείας.] i. q. Τὴν ἀσθένειαν,—φύσις being in frequent use in similar periphrases. Cf. Plat. in Epinom. p. 702. C. θεοὺς γὰρ δὴ ὁρατοὺς—τὴν τῶν ἄστρων φύσιν λεκτέον, i. q. τὰ ἄστρα. Legg. xii. 697. ἐπιτήδειοι πρὸς τὴν φυλακῆς φύσιν, i. e. πρὸς τὴν φυλακήν.—Plotin. Enn. ii. 1. 3. p. 98. A.—καὶ ἀὴρ μήποτ' ἐπιλείπει, οὐδ' ἡ ὕδατος φύσις. Cic. de Fin. v. 11.—"hoc intelligant, si quando naturam hominis dicam, hominem dicere me; nil enim hoc differt."

Εἰ γάρ τις καὶ πλέον ἔτι.] This, as well as what immediately preceded, Cebes addressed to Simmias, who while he admitted the pre-existence of the soul, yet by contrasting it with a harmony, denied its superior strength and durability, as compared with that of the body. Cebes now asserts, that if one were to concede to another, who insisted upon still more than Simmias did, namely, not merely the soul's pre-existence, but that the souls of some existed after their decease, and were subject to the successive changes of birth and death, the nature of the soul being such that it could survive these repeated births; if one were to concede this, he could not still by any means allow that the soul suffered no injury from these many changes, and that it did not eventually sink in some of them, but which, it would be impossible to say. Hence, according to Cebes, one should entertain but a foolish and unfounded confidence who would fearlessly encounter death without the ability to prove that the soul was, in every respect, immortal and imperishable, in which case it would be impossible but that the person about to die should fear with regard to his soul, that its doom was involved in the approaching dissolution of the body.

Οὕτω γὰρ αὐτό.] Αὐτο h. l. referring to ψυχήν, is used for αὐτὴν. Demonstrative pronouns are often not in the gender of the substantive to which they refer, but in the neuter, provided the idea of the substantive in the abstract be considered generally as a thing or matter. Matthiæ Gr. s. 439.—Ἀντέχειν, i. q. διαμένειν, σώζεσθαι, *to endure, to continue.*

Μὴ οὐ πονεῖν αὐτήν.] Μὴ οὐ is used after negative propositions or verbs,

τελευτῶσάν γε ἔν τινι τῶν θανάτων παντάπασιν ἀπόλλυσθαι· τοῦτον δὲ τὸν θάνατον καὶ ταύτην τὴν διάλυσιν τοῦ σώματος, ἣ τῇ ψυχῇ φέρει ὄλεθρον, μηδένα φαίη εἰδέναι· ἀδύνατον γὰρ εἶναι ὁτῳοῦν αἰσθάνεσθαι ἡμῶν· εἰ δὲ τοῦτο οὕτως ἔχει, οὐδενὶ προσήκει θάνατον θαῤῥοῦντι μὴ οὐκ ἀνοήτως θαῤῥεῖν, ὃς ἂν μὴ ἔχῃ ἀποδεῖξαι ὅτι ἔστι ψυχὴ παντάπασιν ἀθάνατόν τε καὶ ἀνώλεθρον· εἰ δὲ μή, ἀνάγκην εἶναι ἀεὶ τὸν μέλλοντα ἀποθανεῖσθαι δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς, μὴ ἐν τῇ νῦν τοῦ σώματος διαζεύξει παντάπασιν ἀπόληται.

§. 38. Πάντες οὖν ἀκούσαντες εἰπόντων αὐτῶν ἀηδῶς διετέθημεν, ὡς ὕστερον ἐλέγομεν, πρὸς ἀλλήλους, ὅτι ὑπὸ τοῦ ἔμπροσθεν λόγου σφόδρα πεπεισμένους ἡμᾶς πάλιν ἐδόκουν ἀναταράξαι καὶ εἰς ἀπιστίαν καταβαλεῖν οὐ μόνον τοῖς προειρημένοις λόγοις, ἀλλα καὶ εἰς τὰ ὕστερον μέλλοντα ῥηθήσεσθαι, μὴ οὐδενὸς ἄξιοι εἶμεν κριταὶ ἢ καὶ τὰ πράγματα αὐτὰ ἄπιστα εἴη.

ΕΧ. Νὴ τοὺς θεούς, ὦ Φαίδων, συγγνώμην γε ἔχω ὑμῖν. καὶ γὰρ αὐτόν με νῦν ἀκούσαντά σου τοιοῦτόν τι λέγειν πρὸς ἐμαυτὸν ἐπέρχεται, Τίνι οὖν ἔτι πιστεύσομεν λόγῳ; ὡς γὰρ σφόδρα πιθανὸς ὢν, ὃν ὁ Σωκράτης ἔλεγε λόγον, νῦν εἰς ἀπιστίαν καταπέπ-

with infinitives which are themselves negatived, where it is equivalent to the Latin *quin*, or *quominus*. Matthiæ Gr. s. 609. e. Cf. supr. c. 17. sub. fin. *τίς μηχανὴ μὴ οὐχί*, κ. τ. λ.—Πονεῖν, i. e. *frangi viribus, confici, fatiscere.* STALL. *ἐν παῖς πολλαῖς γενέσεσι, quum migrat sæpius et proficiscitur in alia atque alia corpora.* ID.

Οὐδενὶ προσήκει θάνατον.] Explained by Heindorf; *In neminem fidenter obfirmatoque animo mortem expectantem cadit, ut non stolide hanc habeat fiduciam, qui non possit, &c.* Upon θάνατον θαῤῥοῦντι see Matthiæ Gr. s. 414. 12.

Δεδιέναι ὑπὲρ τῆς αὐτοῦ ψυχῆς.] *To fear concerning his soul;* the more usual form being, according to Heindorf, δεδιέναι περί τινος, or περί τινι.

§. 38. Πάντες οὖν ἀκούσαντες, κ. τ. λ.] This interruption of the dialogue, and the transition from the subject to the narrator himself, is admirably adapted, as Wyttenbach observes, to interest and affect the reader.

Εἰς ἀπιστίαν — τοῖς προειρημένοις λόγοις.] See Matthiæ Gr. s. 390.

Τοιοῦτόν τι λέγειν, κ. τ. λ.] i. e. *A like reflection strikes myself.* Upon αὐτόν με νῦν ἀκ.—ἐπέρχεται, See Matthiæ Gr. s. 402. *a.* Obs. 1.

τωκε. θαυμαστῶς γάρ μου ὁ λόγος οὗτος ἀντιλαμβάνεται καὶ νῦν καὶ ἀεί, τὸ ἁρμονίαν τινὰ ἡμῶν εἶναι τὴν ψυχήν, καὶ ὥς περ ὑπέμνησέ με ῥηθεὶς ὅτι καὶ αὐτῷ μοι ταῦτα προὐδέδοκτο. καὶ πάνυ δέομαι πάλιν, ὥς περ ἐξ ἀρχῆς, ἄλλου τινὸς λόγου, ὅς με πείσει ὡς τοῦ ἀποθανόντος οὐ συναποθνήσκει ἡ ψυχή. λέγε οὖν πρὸς Διός, πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον; καὶ πότερον κἀκεῖνος, ὥς περ ὑμᾶς φῄς, ἔνδηλός τι ἐγένετο ἀχθόμενος ἢ οὔ, ἀλλὰ πράως ἐβοήθει τῷ λόγῳ; καὶ ἱκανῶς ἐβοήθησεν ἢ ἐνδεῶς; πάντα ἡμῖν δίελθε ὡς δύνασαι ἀκριβέστατα.

ΦΑΙΔ. Καὶ μήν, ὦ Ἐχέκρατες, πολλάκις θαυμάσας Σωκράτη οὐ πώποτε μᾶλλον ἠγάσθην ἢ τότε παραγενόμενος. τὸ μὲν οὖν ἔχειν ὅ τι λέγοι ἐκεῖνος ἴσως οὐδὲν ἄτοπον· ἀλλ᾽ ἔγωγε μάλιστα ἐθαύμασα αὐτοῦ πρῶτον μὲν τοῦτο, ὡς ἡδέως καὶ εὐμενῶς καὶ ἀγαμένως τῶν νεανίσκων τὸν λόγον ἀπεδέξατο, ἔπειτα ἡμῶν ὡς ὀξέως ᾔσθετο ὃ πεπόνθειμεν ὑπὸ τῶν λόγων, ἔπειτα ὡς εὖ ἡμᾶς ἰάσατο καὶ ὥς περ πεφευγότας καὶ ἡττημένους ἀνεκαλέσατο καὶ προὔτρεψε πρὸς τὸ παρέπεσθαί τε καὶ ξυσκοπεῖν τὸν λόγον.

Θαυμαστῶς γάρ μου—ἀντιλαμβάνεται.] i. e. *Makes a wonderful impression upon, takes a wonderful hold of me:* see Matthiæ Gr. s. 330. Stallbaum explains it; *mirifice me capit, ita ut ab altera illa sententia quasi abstrahar et abducar.*— Καὶ νῦν καὶ ἀεί, *nunc, ut jam semper antea.* STALL. Cf. Schæfer, ad Sophocl. Antig. v. 181.

Καὶ ὥς περ ὑπέμνησέ με.] *And has reminded me, as it were, that I have myself held the same opinion.* Matthiæ Gr. s. 629. v. ὥσπερ.

Μετῆλθε τὸν λόγον.] *Followed up the argument;* for the purpose of explaining away the objected difficulties.

Πράως ἐβοήθει τῷ λόγῳ.] *Temperately bore out, supported, the argument;* i. e. defended and sustained it against the doubts and censures of his opponents, with good temper and discretion.

Τὸ μὲν οὖν ἔχειν.] This construction arises from the attraction of the subject; otherwise the passage would run, τὸ μὲν οὖν ἔχειν ἐκεῖνον ὃ λέγοι. Tr. *That he was able to make a reply is not, perhaps, so much to be wondered at.*

Πρῶτον μὲν τοῦτο—ἔπειτα—ἔπειτα.] See Matthiæ Gr. s. 603.—Ὡς ἡδέως καὶ εὐμενῶς. Cf. in Criton. c. 1. ὡς ἡδέως καθεύδεις.—Ἀγαμένως—ἀπεδέξατο. i. e. *With what respect and admiration he attended to the argument of the young men.* Ruhnken, ad Tim. Gloss. p. 9. explains it; *orationem mirifice probavit,* and Hesychius understands ἀγαμένως in the sense of θαυμασίως, but it is obvious that the spirit and sense of the passage are best evinced by the interpretation of Stallbaum as supr.

Ἡμῶν ὡς ὀξέως ᾔσθετο.] See Mat-

ΕΧ. Πῶς δή;

ΦΑΙΔ. Ἐγὼ ἐρῶ. ἔτυχον γὰρ ἐν δεξιᾷ αὐτοῦ καθήμενος παρὰ τὴν κλίνην ἐπὶ χαμαιζήλου τινός, ὁ δὲ ἐπὶ πολὺ ὑψηλοτέρου ἢ ἐγώ. καταψήσας οὖν μου τὴν κεφαλὴν καὶ ξυμπιέσας τὰς ἐπὶ τῷ αὐχένι τρίχας— εἰώθει γάρ, ὁπότε τύχοι, παίζειν μου εἰς τας τρίχας— Ἄὔριον δή, ἔφη, ἴσως, ὦ Φαίδων, τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ. Ἔοικεν, ἦν δ' ἐγώ, ὦ Σώκρατες. Οὔκ, ἄν γε ἐμοὶ πείθῃ. Ἀλλὰ τί; ἦν δ' ἐγώ. Τήμερον, ἔφη, κἀγὼ τὰς ἐμὰς καὶ σὺ ταύτας, ἐάν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι. καὶ ἔγωγ' ἂν εἰ σὺ εἴην καί με διαφύγοι ὁ λόγος, ἔνορκον ἂν ποιησαίμην ὥς περ Ἀργεῖοι, μὴ

thiæ Gr. s. 317.

Ἐπὶ χαμαιζήλου τινός.] Intell. δίφρου, or θρανίου. Tim. Plat. Lex. v. χαμαίζηλος· διφρίον μικρὸν ἢ ταπεινὸν σκιμπόδιον.

Καταψήσας οὖν μου τὴν κεφαλήν.] Cf. Terent. Heaut. iv. 5. 14. "Non possum pati, Quin tibi caput demulceam; accede huc Syre."

Τὰς καλὰς ταύτας κόμας ἀποκερεῖ.] One of the modes by which the Grecians expressed their regret for the decease of their friends was, by cutting off or shaving the hair, of which they did not think it sufficient to deprive themselves of a small part only; Eurip. Orest. v. 128. They disposed of the hair in several ways. Sometimes it was thrown upon the corpse. Hom. Il. ψ'. v. 135. Θριξὶ δὲ πάντα νέκυν καταείννυον, ἃς ἐπέβαλλον Κειρόμενοι—sometimes it was thrown upon the funeral pile, or placed in the hands of the deceased, to be consumed with the body, Il. ψ'. 152—ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο Θῆκεν.—and at other times it was laid on the grave. Æschyl. Choeph. Ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ. It has been objected, v. Meurs. ad Lycophr. 976. de Funer. c. xlvi. that shaving the hair was rather, as appears from several ancient authorities, a sign of rejoicing; see the discussion of this subject in Potter's Grec. Antiq. ii. c. 5.

Ἀλλὰ τί.] Suppl. βούλει ποιῶ. Cf. Aristoph. Ran. 489. Οὐκ ἂν ἕτερος ταῦτ' εἰργάσατ' ἀνήρ. Ξ. Ἀλλὰ τί; [sc. ἂν εἰργάσατο]. Δ. Κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν.

Ἐάν περ—ὁ λόγος τελευτήσῃ.] The forms ὁ λόγος οἴχεται,—ἐκφεύγει,—σώζεται, are familiar with Plato, instead of which he now uses one less frequent, but more suitable to the immediate nature of the subject.—Ἀναβιώσασθαι, *to recall to life.* Cf. in Criton. c. 9. init. Καὶ ἀναβιωσκομένων.

Εἰ—με διαφύγοι ὁ λόγος.] i. e. If he should lose hold of his argument, and be consequently unable to prove his point, the immortality of the soul.—Ἔνορκον ἂν ποιησαίμην, *I would bind myself by oath.*

Ὡς περ Ἀργεῖοι.] The Argives having lost Thyrea to the Spartans, bound themselves, by a decree and imprecation, to cut their hair and never permit it to grow again to its accustomed length until the place had been recovered. The Spartans, on the contrary, who used to wear their hair short, decreed that from thenceforward they would nourish their hair, as a reproach to their enemies. Herodot. i. 82. Ἀργεῖοι μέν νῦν ἀπὸ τούτου τοῦ χρόνου (the time of the loss of Thyrea) κατακειράμενοι τὰς κεφαλάς, πρότερον ἐπάναγκες κομῶντες, ἐποιήσαντο νόμον τε καὶ κατάρην, μὴ πρότερον θρέψειν κόμην Ἀργείων μηδένα μηδὲ τὰς γυναῖκας

πρότερον κομήσειν πρὶν ἂν νικήσω ἀναμαχόμενος τὸν Σιμμίου τε καὶ Κέβητος λόγον. Ἀλλ', ἦν δ' ἐγώ, πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τε εἶναι. Ἀλλὰ καὶ ἐμέ, ἔφη, τὸν Ἰόλεων παρακάλει, ἕως ἔτι φῶς ἐστίν. Παρακαλῶ τοίνυν, ἔφην, οὐχ ὡς Ἡρακλῆς, ἀλλ' ὡς Ἰόλεως τὸν Ἡρακλῆ. Οὐδὲν διοίσει, ἔφη.

§. 39. Ἀλλὰ πρῶτον εὐλαβηθῶμέν τι πάθος μὴ πάθωμεν. Τὸ ποῖον; ἦν δ' ἐγώ. Μὴ γενώμεθα, ἦ δ' ὅς, μισολόγοι, ὥς περ οἱ μισάνθρωποι γιγνόμενοι,

σφι χρυσοφορήσειν, πρὶν ἂν Θὺρέας ἀνασώσωνται. Λακεδαιμόνιοι δὲ τὰ ἐναντία τούτων ἔθεντο νόμον, σὺ γὰρ κομῶντες πρὸ τούτου ἀπὸ τούτου κομᾷν.

Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς.] The application of this proverb is plain, but its origin is uncertain. It arose, according to some, from Hercules having called Iolaus, son of Iphiclus, king of Thessaly, to assist him in destroying the hydra, which he did by applying a burning iron to the wound, as soon as one head was cut off, to prevent the growth of another; the attention of Hercules having been drawn away for a time by a sea-crab, which Juno, jealous of his glory, had sent during the combat to bite his foot. Cf. Schol. in loc. Ταύτης τὴν αἰτίαν ὁ Δοῦρις οὕτως ἀφηγεῖται. Ἡρακλέα φησὶ βωμὸν δειμάμενον ἐπὶ τῷ Ἀλφειῷ, πυγμῆς ἀγῶνα καταθεῖναι, καὶ νικήσαντα τὴν ἐξῆς Ὀλυμπιάδα, πάλιν ἀγωνιζόμενον, ὑπὸ Ἐλάτου καὶ Φεράνδρου πάλῃ ληφθῆναι, καὶ ἐξ ἐκείνου τὸ, Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς, παροιμιασθῆναι ..... Ἡρόθωρος δὲ καὶ Ἑλλάνικός φασιν, ὡς ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκῖνον ἐφορμῆσαι· πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι, σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. V. Gecl. in Bibliothec. Crit. Nov. ii. p. 15. sqq.

Ἕως ἔτι φῶς ἔστι.] i. e. Before sunset, after which time, those who had been condemned to die were obliged to drink the poison. Cf. infr. c. 66.

§. 39. Πρῶτον.] *First of all.*—Τὸ ποῖον, h. e. ποῖόν ἐστι τοῦτο τὸ πάθος, ὃ λέγεις. The article is prefixed to interrogative pronouns, when it always refers to something previously said by the person interrogated; the article appearing to be the commencement of an anticipation of what the person questioned is expected to say, and the interrogative pronoun to be resorted to after a short aposiopesis, from inability to proceed. Tr. εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν. Merc. τὸ—τί. Aristoph. Pac. 696.—Merc. ὦ, ὦ. οἷα μ' ἐκέλευσεν ἀναπυθέσθαι σου; Tr. τὰ—τί; Aristoph. Pac. 693.—Π. πράγμα πορσύνων μέγα. Κ. τὸ — ποῖον, ὦ ξέν'; Soph. τὸ ποῖον δὴ λέγεις; when there is nothing in the preceding words to which the article thus employed can be *grammatically* referred, some noun with which it may agree is expressed in the interrogation itself: Prom. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον. Chor. τὸ ποῖον εὑρὼν τῇδε φάρμακον νόσου. Æschyl. Prom. 248. *the remedy which you discovered for this malady was what?* Seag. Viger, c. 1. r. 19.

Μὴ γενώμεθα—μισολόγοι ὡς περ οἱ μισάνθρωποι.] Cf. Minucius Felix in Octavio xiv. 4. "Id accidere pernotum est auditorum facilitate, qui, dum verborum lenocinio a rerum intentionibus avocantur, sine delectu adsentiuntur dictis omnibus, nec a rectis falsa secernunt, nescientes inesse et in incredibili verum, et in verisimili mendacium. Itaque quo sæpius adseverationibus credunt, eo frequentius a peritioribus arguuntur: sic assidue temeritate decepti, culpam judicii (sic leg. pro judicis) transferunt ad

ὡς οὐκ ἔστιν, ἔφη, ὅ τι ἄν τις μεῖζον τούτου κακὸν πάθοι ἢ λόγους μισήσας. Γίγνεται δὲ ἐκ τοῦ αὐτοῦ τρόπου μισολογία τε καὶ μισανθρωπία. ἥ τε γὰρ μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ τέχνης, καὶ ἡγήσασθαι παντάπασί γε ἀληθῆ εἶναι καὶ ὑγιῆ καὶ πιστὸν τὸν ἄνθρωπον, ἔπειτα ὀλίγον ὕστερον εὑρεῖν τοῦτον πονηρόν τε καὶ ἄπιστον, καὶ αὖθις ἕτερον. καὶ ὅταν τοῦτο πολλάκις πάθῃ τις, καὶ ὑπὸ τούτων μάλιστα οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους, τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε πάντας καὶ ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τὸ παράπαν. ἢ οὐκ ἤσθησαί οὕτω τοῦτο γιγνόμενον; Πάνυ γε, ἦν δ' ἐγώ. Οὐκοῦν, ἦ δ' ὅς, αἰσχρόν; καὶ δῆλον ὅτι ἄνευ τέχνης τῆς περὶ τἀνθρώπεια ὁ τοιοῦτος χρῆσθαι ἐπιχειρεῖ τοῖς ἀνθρώποις; εἰ γάρ που μετὰ τέχνης ἐχρῆτο, ὥς περ ἔχει, οὕτως ἂν ἡγήσατο, τοὺς μὲν χρηστοὺς καὶ πονηροὺς σφό-

incerti querelam; ut, damnatis omnibus, malint universa suspendere, quam de fallacibus judicare. Igitur nobis providendum est, ne odio identidem sermonum omnium laboremus; ita ut in exsecrationem et odium hominum plerique simpliciores efferantur. Nam incaute creduli circumveniuntur ab his, quos bonos putarunt: mox errore consimili jam suspectis omnibus, ut improbos metuunt etiam quos optimos sentire potuerunt."

Τούτου κακὸν π. ἢ λόγ. μισ.] Compare Gorg. p. 500. C. οὔ τί ἂν μᾶλλον σπουδάσειέ τις—ἢ τοῦτο, ὄντινα χρὴ τρόπον ζῆν. and Heindorf in loc. Cic. de Nat. Deor. i. 15. "Quo quid absurdius, quam aut res sordidas atque deformes deorum honore afficere."

Ἐνδύεται.] *Arises in the mind.* Cf. Æschin. Socr. iii. 8. φροντίδες ὑπεδυσαν—where the verb is also used absolutely and in a similar sense.

Αὖθις ἕτερον.] i. e. Upon a different occasion from that in which the favorable opinion was formed of him in the first instance, he will be found quite a different character. V. Cousin; *et tout autre encore dans une autre occasion.*

Ἑταιροτάτους.] Comparatives and superlatives of substantives, which are taken in an adjective sense, and which, for the most part, are adjectives, are not unusual. Cf. Herodot. vii. 7. δουλότερος. Aristoph. Equ. 45. διαβολώτατος.

Οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι.] Cf. Aristoph. Plut. 362. Ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν· οὐδενός. Schol. in loc. Ὅτι οὐδεὶς ὃς δοκεῖ ἔχειν πλεονέκτημα ἀρετῆς ὑγιῶς ἔχει.

Οὔκουν—αἰσχρόν.] Suppl. τοῦτό ἐστι.—Ἄνευ τέχνης; Cf. Lucian, in Timon. where Jupiter inquiring from Mercury the cause of the misery and complaints of Timon, is answered; χρηστότης ἐπέτριψεν αὐτὸν καὶ φιλανθρωπία—ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια καὶ εὐήθεια καὶ ἀκρισία περι τοὺς φίλους, ὃς οὐ συνίει, κόραξι καὶ λύκοις χαριζόμενος.

Ὡς περ ἔχει, κ. τ. λ.] *Such as it really is he would have judged the case to be, that the excessively good and evil are but few on either side, but that the middle class is the more numerous.*—σφό-

δρα ὀλίγους εἶναι ἑκατέρους, τοὺς δὲ μεταξὺ πλείστους. Πῶς λέγεις; ἦν δ' ἐγώ. Ὡς περ, ἦ δ' ὅς, περὶ τῶν σφόδρα σμικρῶν καὶ μεγάλων· οἴει τι σπανιώτερον εἶναι ἢ σφόδρα μέγαν ἢ σφόδρα σμικρὸν ἐξευρεῖν ἄνθρωπον ἢ κύνα ἢ ἄλλο ὁτιοῦν; ἢ αὖ ταχὺν ἢ βραδύν, ἢ καλὸν ἢ αἰσχρόν, ἢ λευκὸν ἢ μέλανα; ἢ οὐκ ἤσθησαι ὅτι πάντων τῶν τοιούτων τὰ μὲν ἄκρα τῶν ἐσχάτων σπάνια καὶ ὀλίγα, τὰ δὲ μεταξὺ ἄφθονα καὶ πολλά; Πάνυ γε, ἦν δ' ἐγώ. Οὐκοῦν οἴει, ἔφη, εἰ πονηρίας ἀγὼν προτεθείη, πάνυ ἂν ὀλίγους καὶ ἐνταῦθα τοὺς πρώτους φανῆναι; Εἰκός γε, ἦν δ' ἐγώ. Εἰκὸς γάρ, ἔφη· ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι οἱ λόγοι τοῖς ἀνθρώποις εἰσίν, ἀλλὰ σοῦ νῦν δὴ προάγοντος ἐγὼ ἐφεσπόμην, ἀλλ' ἐκείνῃ ᾗ, ἐπειδάν τις πιστεύσῃ λόγῳ τινὶ ἀληθεῖ εἶναι ἄνευ τῆς περὶ τοὺς λόγους τέχνης, κἄπειτα ὀλίγον ὕστερον αὐτῷ δόξῃ ψευδὴς εἶναι, ἐνίοτε μὲν ὤν, ἐνίοτε δ' οὐκ ὤν, καὶ αὖθις ἕτερος καὶ ἕτερος· καὶ μάλιστα δὴ οἱ περὶ τοὺς ἀντιλογικοὺς λόγους διατρίψαντες οἶσθ' ὅτι τελευτῶντες

δρα being taken with χρηστοὺς καὶ πονηροὺς. Cf. Apul. de Doctr. Plat. ii. p. 22. ed. Elm. "Sed apprime bonos et sine mediocritate deterrimos paucos admodum rarioresque, et, ut ipse ait, innumerabiles esse: eos autem, qui nec plane optimi nec omnino deterrimi sint, sed quasi medie morati, plures esse."

Τὰ μὲν ἄκρα τῶν ἐσχάτων.] *The extremes.*

Ἀλλὰ ταύτῃ μὲν οὐχ ὅμοιοι.] Socrates does not assert his analogy to hold good so far as that reasonings may be considered liable to the extremes of good and evil which he had just declared to be few as in the case of mankind, nor to the more widely extended mediocrity which prevailed amongst them. These observations applied to men alone, and he was led out of his way to express them, in explanation of a foregoing remark, by the question of Phædon, Πῶς λέγεις; supr. whence ἀλλὰ σοῦ νῦν δὴ προάγοντος ἐγὼ ἐφεσπόμην. After which Socrates proceeds to show where the points of similitude, to which he had in the first instance alluded, lay, and which appeared to arise from a hasty and inconsiderate mode of judgment, by which, inferring as it did a constant and perplexing change of opinion with regard to truth and falsehood in philosophy, as with regard to good and evil in man, the former was also condemned as deficient in those qualities of certainty and stability which alone enhanced its pursuit.

Ἀλλ' ἐκείνῃ.] Sc. ὅμοιοι εἰσι. Upon ἐκείνῃ ᾗ, see Matthiæ Gr. s. 480. c. and 474. *d.* Schleirmacher observes upon this, that the consequence loses itself here, but in such a manner that it is possible to be drawn out in the parenthesis.

Οἱ περὶ τοὺς ἀντιλογικ. λόγ. διατρ.] *Those who are conversant in sophistical reasonings.* Wyttenbach explains ἀντιλογικοὺς λόγους, *sophismata, argumenta in utramque partem composita, ratio contra omnia disputandi.* Cf. infr.

οἴονται σοφώτατοι γεγονέναι καὶ κατανενοηκέναι μόνοι ὅτι οὔτε τῶν πραγμάτων οὐδενὸς οὐδὲν ὑγιὲς οὐδὲ βέβαιον οὔτε τῶν λόγων, ἀλλὰ πάντα τὰ ὄντα, ἀτεχνῶς ὥς περ ἐν Εὐρίπῳ, ἄνω καὶ κάτω στρέφεται καὶ χρόνον οὐδένα ἐν οὐδενὶ μένει. Πάνυ μὲν οὖν, ἔφην ἐγώ, ἀληθῆ λέγεις. Οὐκοῦν, ὦ Φαίδων, ἔφη, οἰκτρὸν ἂν εἴη τὸ πάθος, εἰ ὄντος δή τινος ἀληθοῦς καὶ βεβαίου λόγου καὶ δυνατοῦ κατανοῆσαι, ἔπειτα διὰ τὸ παραγίγνεσθαι τοιούτοις τισὶ λόγοις τοῖς αὐτοῖς τοτὲ μὲν δοκοῦσιν ἀληθέσιν εἶναι, τοτὲ δὲ μή, μὴ ἑαυτόν τις αἰτιῷτο μηδὲ τὴν ἑαυτοῦ ἀτεχνίαν, ἀλλὰ τελευτῶν διὰ τὸ ἀλγεῖν ἄσμενος ἐπὶ τοὺς λόγους ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσαιτο, καὶ ἤδη τὸν λοιπὸν βίον μισῶν τε καὶ λοιδορῶν τοὺς λόγους διατελοῖ, τῶν δὲ ὄντων τῆς ἀληθείας τε καὶ ἐπιστήμης στερηθείη. Νὴ τὸν Δία, ἦν δ' ἐγώ, οἰκτρὸν δῆτα.

§. 40. Πρῶτον μὲν τοίνυν, ἔφη, τοῦτο εὐλαβηθῶμεν, καὶ μὴ παριῶμεν εἰς τὴν ψυχὴν ὡς τῶν λόγων

c. 49. sub. fin. *ἅμα δὲ οὐκ ἂν φύροιο, ὥς περ οἱ ἀντιλογικοί*

Ὡς περ ἐν Εὐρίπῳ.] A narrow strait dividing Euboea from the main land of Greece. The currents were so strong that, according to some of the ancient writers, the sea was said to ebb and flow seven times a day, and as often during the night, whence it became proverbial for inconstancy and unsteadiness. Livy, xxviii. 6. whose account appears the more rational, denies that it ebbs and flows as stated supr. but says that it is subject to the influence of furious winds from the high mountains on either side, and that the current itself, changing irregularly, like the wind, from one point to another, is hurried along like a torrent from a mountain, so that ships cannot lie quiet in it day or night.

Ἄνω καὶ κάτω στρέφεται.] In allusion to the uncertainty which such reasoners attach to every thing, and the insecurity of the knowledge which results from such fluctuating principles. Upon *ἄνω καὶ κάτω στρέφ.* vid Wesseling, ad Herodot. p. 195. iii. 195.

Δυνατοῦ κατανοῆσαι.] See Matthiæ Gr. s. 535. *b.* Obs.

Ἔπειτα διὰ τὸ παραγίγνεσθαι, κ. τ. λ.] Would it not, says Socrates, be a deplorable grievance, if, while there is a mode of reasoning which is true, solid, and intelligible, yet from having encountered such a description of reasons as at one time appeared to be true, and at another false, one should in fine, through discontent and vexation, be glad to transfer the blame from himself and his inertness in not endeavouring to dispel his doubts, and arrive by investigation at certainty, to the reasons, and should dislike and condemn them through life, while he remained a stranger to the truth and knowledge of the realities which those reasons evinced ?—Ἔπειτα, *yet, nevertheless.*

Οἰκτρὸν δῆτα.] *Grievous indeed.*

§. 40. Μὴ παριῶμεν εἰς τὴν ψυχήν.] *Let us not admit into our minds, let us not be persuaded, &c.*

κινδυνεύει οὐδὲν ὑγιὲς εἶναι, ἀλλὰ πολὺ μᾶλλον ὅτι ἡμεῖς οὔπω ὑγιῶς ἔχομεν, ἄλλ᾽ ἀνδριστέον καὶ προθυμητέον ὑγιῶς ἔχειν, σοὶ μὲν οὖν καὶ τοῖς ἄλλοις καὶ τοῦ ἔπειτα βίου παντὸς ἕνεκα, ἐμοὶ δὲ αὐτοῦ ἕνεκα τοῦ θανάτου, ὡς κινδυνεύω ἔγωγε ἐν τῷ παρόντι περὶ αὐτοῦ τούτου οὐ φιλοσόφως ἔχειν, ἀλλ᾽ ὥς περ οἱ πάνυ ἀπαίδευτοι φιλονείκως. Καὶ γὰρ ἐκεῖνοι ὅταν περί του ἀμφισβητήσωσιν, ὅπῃ μὲν ἔχει περὶ ὧν ἂν ὁ λόγος ᾖ οὐ φροντίζουσιν, ὅπως δὲ ἃ αὐτοὶ ἔθεντο ταῦτα δόξει τοῖς παροῦσι, τοῦτο προθυμοῦνται. καὶ ἐγώ μοι δοκῶ ἐν τῷ παρόντι τοσοῦτον μόνον ἐκείνων διοίσειν· οὐ γὰρ ὅπως τοῖς παροῦσιν ἃ ἐγὼ λέγω δόξει ἀληθῆ εἶναι προθυμήσομαι, εἰ μὴ εἴη πάρεργον, ἀλλ᾽ ὅπως αὐτῷ ἐμοὶ ὅτι μάλιστα δόξει οὕτως ἔχειν. λογίζομαι γάρ, ὦ φίλε ἑταῖρε· καὶ θέασαι ὡς πλεονεκτικῶς· εἰ μὲν τυγχάνει ἀληθῆ ὄντα ἃ λέγω, καλῶς δὴ ἔχει τὸ πεισθῆναι· εἰ δὲ μηδέν ἐστι τελευτήσαντι,

Ἀλλὰ πολὺ μᾶλλον.] Intell. *ἐννοῶμεν.*

Ἀνδριστέον.] i. e. *We must exert ourselves with manly resolution and energy.*

Περὶ αὐτοῦ τούτου.] Sc. the immortality of the soul.

Οὐ γὰρ ὅπως.] Γὰρ, like the Latin *nempe*, serves for the explanation of a preceding proposition, in which was contained a demonstrative pronoun, preparing the way for that which follows. Matthiæ Gr. s. 615.

Εἰ μὴ εἴη πάρεργον.] *Unless it should occur incidentally,—should occur as a matter of but secondary importance;* V. Cousin; *Au moins n'est-ce pas là mon but principal;* for Socrates was anxious in the first instance, from the nature of his situation at the time, to be himself convinced of the soul's immortality, that his arguments might not fail either of their due effect upon those to whom they appeared not to be primarily addressed.

Λογίζομαι γάρ—] i. e. *For I am considering, and observe how favorably to myself, if what I say happens to be true, it is well to be persuaded of it, &c.* Ficinus appears to have read λογίζομαι γὰρ ὧδε.—Εἰ μὲν τυγχάνει. The most learned among the ancients generally hesitated to admit the immortality of the soul as an absolute and incontrovertible truth, and accordingly they often appeared, at one time, to yield to that, as an established certainty, which they nullified at another by their many and perplexing doubts. So Cyr. Socrat. ap. Xenoph. viii. 7. on this subject; εἰ μὲν οὕτως ἔχει ταῦτα—εἰ δὲ μή. Cf. Cic. de Senec. 22. Epist. ad Div. v. 16. Senec Epist. 102. "Juvabat de æternitate animorum quærere, immo hercle quærere. Credebam enim facile opinionibus magnorum virorum, rem gratissimam promittentium, quam probantium." The ancients mostly were inclined to receive this opinion upon the grounds of what was asserted respecting the immortality of the soul, rather than upon a conviction resulting from close and suitable arguments, by which they seldom laboured to prove its truth. GOTTL.

Εἰ δὲ μηδέν ἐστι τελευτ.] i. e. If all sensation is destroyed by death, and the soul itself ceases to exist.

ἀλλ' οὖν τοῦτόν γε τὸν χρόνον αὐτὸν τὸν πρὸ τοῦ θανάτου ἧττον τοῖς παροῦσιν ἀηδὴς ἔσομαι ὀδυρόμενος. ἡ δὲ ἄγνοιά μοι αὕτη οὐ ξυνδιατελεῖ κακὸν γὰρ ἂν ἦν, ἀλλ' ὀλίγον ὕστερον ἀπολεῖται. παρεσκευασμένος μὲν δή, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης, οὑτωσὶ ἔρχομαι ἐπὶ τὸν λόγον. ὑμεῖς μέντοι, ἂν ἐμοὶ πείθησθε, σμικρὸν φροντίσαντες Σωκράτους, τῆς δὲ ἀληθείας πολὺ μᾶλλον, ἐὰν μέν τι ὑμῖν δοκῶ ἀληθὲς λέγειν, ξυνομολογήσατε, εἰ δὲ μή, παντὶ λόγῳ ἀντιτείνετε, εὐλαβούμενοι ὅπως μὴ ἐγὼ ὑπὸ προθυμίας ἅμα ἐμαυτόν τε καὶ ὑμᾶς ἐξαπατήσας, ὥς περ μέλιττα τὸ κέντρον ἐγκαταλιπὼν οἰχήσομαι.

§. 41. Ἀλλ' ἰτέον, ἔφη. πρῶτον μέν με ὑπομνήσατε ἃ ἐλέγετε, ἐὰν μὴ φαίνωμαι μεμνήμενος. Σιμμίας μὲν γάρ, ὡς ἐγῷμαι, ἀπιστεῖ τε καὶ φοβεῖται μὴ ἡ ψυχή, ὅμως καὶ θειότερον καὶ κάλλιον ὂν τοῦ σώματος, προαπολλύηται ἐν ἁρμονίας εἴδει οὖσα· Κέβης δέ μοι ἔδοξε τοῦτο μὲν ἐμοὶ ξυγχωρεῖν, πολυχρονιώτερόν γε εἶναι ψυχὴν σώματος, ἀλλὰ τόδε ἄδηλον παντί, μὴ πολλὰ δὴ σώματα καὶ πολλάκις κατατρίψασα ἡ ψυχὴ τὸ τελευταῖον σῶμα καταλιποῦ-

Ἀλλ' οὖν τοῦτόν γε—] *Yet* (ἀλλά) *I will for this reason* (οὖν) *now at least* (γε), &c. Matthiæ Gr. s. 615.

Ἅμα ἐμαύτον τε.] Vulg. ἅμα ἐαυτόν τε; the reflective pronoun ἑαυτοῦ being frequently used by the Attic writers for the other personal pronouns compounded with αὐτος.

Ὡς περ μέλιττα.] This very beautiful metaphor Plato seems to have borrowed from Eupolis, de Pericl. orat. Οὕτως ἐκήλει καὶ μόνος τῶν ῥητόρων Τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις. Diod. Sic. xii. 40. Lucian Nigrin. p. 24. καὶ γάρ τοι, κατὰ τὸν κωμικόν, ὡς ἀληθῶς ἐγκατέλιπε τι κέντρον τοῖς ἀκούουσιν. Cic. de. Orat. iii. 24. "Tantamque in eo (Pericle) vim fuisse (dixerunt), ut in eorum mentibus, qui audissent, quasi aculeos quosdam relinqueret."

§. 41. Ἀλλ' ἰτέον.] A usual form of expression, in proceeding to enter upon an argument. Vid. Wyttenbach, Biblioth. Crit. part. i. p. 59. xii. p. 12.

Ὅμως καὶ θειότερον—ὄν.] Ὅμως is sometimes put before its participle as supr. Cf. Plat. Lysid. c. 22. Theaet. c. 9. So ἔμπας. Pind. Pyth. v. 74. Soph. Aj. 1338. and more frequently εἶτα.—Matthiæ Gr. s. 566. 3. Cf. Terent. Eun. i. 2. 90. "Tamen contemptus abs te hæc habui in memoria."

Ἐν ἁρμονίας εἴδει οὖσα.] i. e. Ἁρμονία οὖσα. Cf. Menex. p. 249. A. ἐν πατρὸς σχήματι κατασταθσα ἡ πόλις. Vid. Heusd. Spec. Crit. p. 44.

Ἀλλὰ τόδε ἄδηλον παντί.] Suppl. φάναι, which is implied in ξυγχωρεῖν preced.

Κατατρίψασα.] *Having worn out.*

σα νῦν αὐτὴ ἀπολλύηται, καὶ ᾗ αὐτὸ τοῦτο θάνατος, ψυχῆς ὄλεθρος, ἐπεὶ σῶμα γ' ἀεὶ ἀπολλύμενον οὐδὲν παύεται. ἆρα ἄλλ' ἢ ταῦτ' ἐστίν, ὦ Σιμμία τε καὶ Κέβης, ἃ δεῖ ἡμᾶς ἐπισκοπεῖσθαι; Ξυνωμολογείτην δὴ ταῦτ' εἶναι ἄμφω. Πότερον οὖν, ἔφη, πάντας τοὺς ἔμπροσθε λόγους οὐκ ἀποδέχεσθε, ἢ τοὺς μέν, τοὺς δ' οὔ; Τοὺς μέν, ἐφάτην τοὺς δ' οὔ. Τί οὖν, ἦ δ' ὅς, περὶ ἐκείνου τοῦ λόγου λέγετε, ἐν ᾧ ἔφαμεν τὴν μάθησιν ἀνάμνησιν εἶναι, καὶ τούτου οὕτως ἔχοντος ἀναγκαίως ἔχειν ἄλλοθί που πρότερον ἡμῶν εἶναι τὴν ψυχήν, πρὶν ἐν τῷ σώματι ἐνδεθῆναι; Ἐγὼ μέν, ἔφη ὁ Κέβης, καὶ τότε θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ καὶ νῦν ἐμμένω ὡς οὐδενὶ λόγῳ. Καὶ μήν, ἔφη ὁ Σιμμίας, καὶ αὐτὸς οὕτως ἔχω, καὶ πάνυ ἂν θαυμάζοιμι εἴ μοι περί γε τούτου ἄλλα ποτὲ ἔτι δόξειεν. Καὶ ὁ Σωκράτης Ἀλλ' ἀνάγκη σοι, ἔφη, ὦ ξένε Θηβαῖε, ἄλλα δόξαι, ἐάν περ μείνῃ ἥδε ἡ οἴησις, τὸ ἁρμονίαν μὲν εἶναι ξύνθετον πρᾶγμα, ψυχὴν δὲ ἁρμονίαν τινὰ ἐκ τῶν κατὰ τὸ σῶμα ἐντεταμένων ξυγκεῖσθαι. οὐ γάρ που ἀποδέξει γε σαυτοῦ λέγοντος ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι. ἢ ἀποδέξει; Οὐδαμῶς, ἔφη, ὦ Σώκρατες. Αἰσθάνει οὖν, ἦ δ' ὅς, ὅτι ταὐτά σοι ξυμβαίνει λέγειν, ὅταν φῇς μὲν εἶναι τὴν ψυχὴν πρὶν καὶ εἰς ἀνθρώπου εἰδός τε καὶ σῶμα ἀφικέσθαι, εἶναι

Οὐκ ἀποδέχεσθε.] *Do you not admit,* or *allow.*

Θαυμαστῶς ὡς.] See Matthiæ Gr. s. 628. 3.

Ἀποδέξει γε σαυτοῦ λέγοντος.] *You will not assent to,* or *approve of yourself assenting,* &c. Matthiæ Gr. s. 373. *Obs.*

Ταὐτά σοι ξυμβαίνει λεγ.] *It follows that you assert this,* &c. Simmias admitted the pre-existence of the soul, but by comparing it to a harmony, which he could not assert to exist prior to the instrument by which it was produced, he was obliged to deny what he had already, and, as he allows, satisfactorily conceded. For if the soul bore the same relation to the body as the harmony to the lyre, the body should not only exist before it, but its qualities and affections should be so duly disposed and regulated as that they should combine to produce faculty of thought, in like manner as the harmony could only result from the proper tension of the strings. After ξυμβαίνει λέγειν, intell. ὡς πρότερον ἦν ἁρμονία ξυγκειμένη, πρὶν ἐκεῖνα εἶναι, ἐξ ὧν ἔδει αὐτὴν ξυντεθῆναι.

Εἰς ἀνθρώπ. εἰδ.] *The human form.*

δ' αὐτὴν ξυγκειμένην ἐκ τῶν οὐδέπω ὄντων; οὐ γὰρ δὴ ἁρμονία γέ σοι τοιοῦτόν ἐστιν, ᾧ ἀπεικάζεις, ἀλλὰ πρότερον καὶ ἡ λύρα καὶ αἱ χορδαὶ καὶ οἱ φθόγγοι ἔτι ἀνάρμοστοι ὄντες γίγνονται, τελευταῖον δὲ πάντων ξυνίσταται ἡ ἁρμονία καὶ πρῶτον ἀπόλλυται. οὗτος οὖν σοι ὁ λόγος ἐκείνῳ πῶς ξυνάσεται; Οὐδαμῶς, ἔφη ὁ Σιμμίας. Καὶ μήν, ἦ δ' ὅς, πρέπει γε, εἴ πέρ τῳ ἄλλῳ λόγῳ, ξυνῳδῷ εἶναι καὶ τῷ περὶ ἁρμονίας. Πρέπει γάρ, ἔφη ὁ Σιμμίας. Οὗτος τοίνυν, ἔφη, σοὶ οὐ ξυνῳδός, ἀλλ' ὅρα· πότερον αἱρεῖ των λόγων, τὴν μάθησιν ἀνάμνησιν εἶναι ἢ ψυχὴν ἁρμονίαν; Πολὺ μᾶλλον, ἔφη, ἐκεῖνον, ὦ Σώκρατες. ὅδε μὲν γάρ μοι γέγονεν ἄνευ ἀποδείξεως μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας, ὅθεν καὶ τοῖς πολλοῖς δοκεῖ ἀνθρώποις· ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται, εὖ μάλα ἐξαπατῶσι, καὶ ἐν γεωμετρίᾳ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ὁ δὲ περὶ τῆς ἀναμνήσεως καὶ μαθήσεως λόγος δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι εἴρηται. ἐρρήθη γάρ που οὕτως

Ἐκ τῶν οὐδέπω ὄντων.] i. e. Ἐκ τῶν τοῦ σώματος, ἃ οὔπω ἦν.

Οὐ γὰρ δὴ ἁρμονία.] *For neither is harmony any such thing as that to which you compare it.*—τοιοῦτον ἐστιν, ᾧ ἀπ. i. e. τοιοῦτον ἐστιν οἷον ᾧ ἀπ.

Οὗτος οὖν σοι ὁ λόγος.] Sc. the argument of Simmias, that the soul was a harmony; how, Socrates asks, will he reconcile this with his former admission, that science was nothing but reminiscence, and that the soul existed before its union with the body?—Ἐκείνῳ, sc. τῷ τὴν μάθησιν ἀνάμνησιν εἶναι.—HEIND.

Ὅδε μὲν γάρ μοι γέγονεν, κ. τ. λ.] i. e. *For this argument* (that the soul was a harmony,) *occurred to me, independent of any demonstration, but in consequence of a certain verisimilitude and speciousness, whence many men entertain this same opinion. But I am convinced that, the arguments which derive their proofs from verisimilitudes, both in geometry and all other instances, are futile, and if one be not on his guard against them, especially deceptive.* Upon the εἰκότα of the rhetoricians, see in Phædr. p. 353. B. 355. E. Cf. Aristot. Rhet. ii. 26. ad Alexandr. 7.—Εὐπρεπείας, and εὐπρεπὴς are frequently used in reference to the plausibility of a speaker and his arguments. Cf. Thucyd. iii. 11. εὐπρέπεια λόγου. 38. τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας παράγειν πειράσεται.

Ξύνοιδα.] See Matthiæ Gr. s. 548. Ἀλαζόσι, Tim. Plat. Lex. Ἀλαζὼν· ψευδής. — ἐξαπατῶσι, *decipientibus.*—WYTT.

Δι' ὑποθέσεως ἀξίας ἀποδέξασθαι.] *Upon a principle deserving of admission* or *assent.*

Ἐρρήθη γάρ που οὕτως, κ. τ. λ.] i. e. *For thus, indeed, our soul was said to exist before the body, since to it be-*

ἡμῶν εἶναι ἡ ψυχὴ καὶ πρὶν εἰς σῶμα ἀφικέσθαι, ὥς περ αὐτῆς ἔστιν ἡ οὐσία ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν. ἐγὼ δὲ ταύτην, ὡς ἐμαυτὸν πείθω, ἱκανῶς τε καὶ ὀρθῶς ἀποδέδεγμαι. ἀνάγκη οὖν μοι, ὡς ἔοικε, διὰ ταῦτα μήτε ἐμαυτοῦ μήτε ἄλλου ἀποδέχεσθαι λέγοντος ὡς ψυχή ἐστιν ἁρμονία.

§. 42. Τί δαί, ἦ δ' ὅς, ὦ Σιμμία, τῇδε; δοκεῖ σοι ἁρμονία ἡ ἄλλῃ τινὶ συνθέσει προσήκειν ἄλλως πως ἔχειν ἢ ὡς ἂν ἐκεῖνα ἔχῃ ἐξ ὧν ἂν ξυγκέηται; Οὐδαμῶς. Οὐδὲ μὴν ποιεῖν τι, ὡς ἐγῷμαι, οὐδέ τι πάσχειν ἄλλο παρ' ἃ ἂν ἐκεῖνα ἢ ποιῇ ἢ πάσχῃ. Ξυνέφη. Οὐκ ἄρα ἡγεῖσθαί γε προσήκει ἁρμονίαν τούτων ἐξ ὧν ἂν ξυντεθῇ, ἀλλ' ἕπεσθαι. Ξυνεδόκει. Πολλοῦ ἄρα δεῖ ἐναντία γε ἁρμονίαν κινηθῆναι ἢ φθέγξασθαι ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὐτῆς μέρεσιν. Πολλοῦ μέντοι, ἔφη. Τί δαι; οὐχ οὕτως ἁρμονία πέφυκεν εἶναι ἑκάστη ἁρμονία, ὡς ἂν ἁρμοσθῇ; Οὐ μανθάνω, ἔφη. Ἡ οὐχί, ἦ δ' ὅς, ἐὰν μὲν

longs (ὥς περ αὐτῆς ἔστιν,) *the essence* (ἡ οὐσία), *which bears the name of "that which is."* (τὴν τοῦ ὃ ἔστιν, i. q. τοῦ ὄντος). In other words, the soul as certainly existed before it was united to the body as did those essences, or intelligible forms, inseparable from and innate in the soul itself, and of whose pre-existence, it was likewise allowed, there was no doubt. Cf. cc. 22. 25. supr. in the former of which ἡμετέραν οὖσαν, as applied by Socrates to οὐσία, is equivalent to what is expressed as supr. by Simmias, ὥς περ αὐτῆς (τῆς ψυχῆς) ἔστιν ἡ οὐσία. V. Cousin, in h. l. "Ce passage se rapporte directement à celui qui précède, c. 24. ou Socrate dit: *si le beau, le bon,* καὶ πᾶσα ἡ τοιαύτη οὐσία, *et cet ordre d'idées auxquelles nous rapportons, comme à des principes supérieurs toutes les impressions des sens et que nous trouvons d'abord en nous-mêmes, oui, si toutes ces idées existent réellment avant de se développer en cette vie, il faut, nécessairement que l'ame qui les possède en propre, lui préexiste également.* Platon appelle les idées des essences, οὐσίαι, ou même collectivement ἡ οὐσία, parce qu' elles constituent la vraie existence, toutes les choses visibles n'en étant que des formes passageres. Il les appelle souvent τὰ ὄντα ὄντως; et c'est dans ce sens qu'il dit ici: ἔχει τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἐστίν."

§. 42. Οὐδὲ μὴν.] *Nor yet.* Matthiæ Gr. s. 605.—Ἄλλο παρ' ἃ ἂν ἐκεῖνα, *anything else except,* or *otherwise than, that which it does and suffers itself.* Matthiæ Gr. s. 588. c. Socrates proceeds to show, by a further argument, that the soul is not a harmony; for harmonies vary in their degrees, and one may be more a harmony than another, but one soul cannot be more a soul than another, whence it easily appears that the similitude fails here also.

Πολλοῦ ἄρα δεῖ ἐναντία.] *It is then far from being the case that harmony is contrariwise* (ἐναντία) *produced, or utters sounds, or in any other respect is opposed to its component parts.*

Οὐχ οὕτως ἁρμονία.] The harmony naturally depends upon the arrangement which is best adapted to produce

μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον, εἴ περ ἐνδέχεται τοῦτο γίγνεσθαι, μᾶλλόν τε ἂν ἁρμονία εἴη καὶ πλειων, εἰ δ' ἧττόν τε καὶ ἐπ' ἔλαττον, ἧττόν τε καὶ ἐλάττων; Πάνυ γε. Ἦ οὖν ἔστι τοῦτο περὶ ψυχήν, ὥστε καὶ κατὰ τὸ σμικρότατον [μᾶλλον] ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς ἐπὶ πλέον καὶ μᾶλλον ἢ ἐπ' ἔλαττον καὶ ἧττον αὐτὸ τοῦτο εἶναι, ψυχήν; Οὐδ' ὁπωστιοῦν, ἔφη. Φέρε δή, ἔφη, πρὸς Διός· λέγεται ψυχὴ ἡ μὲν νοῦν τε ἔχειν καὶ ἀρετὴν καὶ εἶναι ἀγαθή, ἡ δὲ ἄνοιάν τε καὶ μοχθηρίαν καὶ εἶναι κακή; καὶ ταῦτα ἀληθῶς λέγεται; Ἀληθῶς μέντοι. Τῶν οὖν τιθεμένων ψυχὴν ἁρμονίαν εἶναι τί τις φήσει ταῦτα ὄντα εἶναι ἐν ταῖς ψυχαῖς, τήν τε ἀρετὴν καὶ τὴν κακίαν; πότερον ἁρμονίαν αὖ τιν' ἄλλην καὶ ἀναρμοστίαν; καὶ τὴν μὲν ἡρμόσθαι, τὴν ἀγαθήν, καὶ ἔχειν ἐν αὑτῇ ἁρμονίᾳ οὖσῃ ἄλλην ἁρμονίαν, τὴν δὲ ἀνάρμοστον αὐτήν τε εἶναι καὶ οὐκ ἔχειν ἐν αὑτῇ ἄλλην; Οὐκ

it; consequently, according to the degree of perfection in the arrangement of the instrument, strings, &c. the harmony itself, if it can admit of degrees at all (*εἴ περ ἐνδέχεται τοῦτο γίγνεσθαι* infr.) will be more or less complete.

Ἦ *οὖν ἔστι τοῦτο, κ. τ. λ.*] Is this then the case, Socrates asks, with regard to the soul, that even in the least degree possible, one soul should be more or less a soul than another? Assuredly not; therefore in this respect the soul is not a harmony.—Heusde would reject *μᾶλλον*, justly, as having no connexion with the sense of the passage; so, likewise, Stallbaum and Heindorf, but as it is found in all the editions it is preserved, and enclosed in brackets.—*Αὐτὸ τοῦτο*, Matthiæ Gr. s. 439. Obs. 1. b.

Φέρε δή, ἔφη, πρὸς Διός.] Socrates advances another argument against the position of Simmias. If souls are variously imbued with virtues and vices, so that some appear to be better attempered, and, as it were, attuned than others, it follows that one who insists on the soul being a harmony, should also admit that in this harmony, that is, in the soul, the forms and degrees of harmony should be manifold, which is obviously against the nature of the thing itself. Besides, if what was lately conceded be true, that one soul is not more or less so than another, one may be easily compelled to allow that no soul can excel or come short of another, which is the same as to assert that different minds are not capable of being endowed with different degrees of justice, temperance, and wisdom. But the experience of every one is against such an assertion as this. Further, if the nature and notion of harmony be more deeply and accurately investigated, it will be easily allowed that *true harmony* can, as such, at no time, and on no principle, admit of or participate in discord. Hence, whoever argues the soul to be a harmony, must also contend for its perfect freedom from all impurity and vice, and for the souls of all animals as partaking of the perfections of the soul of man; a conclusion which is obviously unwarrantable and absurd.

Τήν *τε ἀρετὴν καὶ τὴν κακίαν—ἁρμονίαν—καὶ ἀναρμ.*] Cf. c. 4. supr. Ὡς *φιλοσοφίας μὲν οὔσης μεγ. μοι*

ἔχω ἔγωγε, ἔφη ὁ Σιμμίας, εἰπεῖν· δῆλον δὲ ὅτι τοιαυτ' ἄττ' ἂν λέγοι ὁ ἐκεῖνο ὑποθέμενος. Ἀλλὰ προωμολόγηται, ἔφη, μηδὲν μᾶλλον μηδ' ἧττον ἑτέραν ἑτέρας ψυχὴν ψυχῆς εἶναι. τοῦτο δ' ἔστι τὸ ὁμολόγημα, μηδὲν μᾶλλον μηδ' ἐπὶ πλέον μηδὲ ἧττον μηδ' ἐπ' ἔλαττον ἑτέραν ἑτέρας ἁρμονίαν ἁρμονίας εἶναι. ἦ γάρ; Πάνυ γε. Τὴν δέ γε μηδὲν μᾶλλον μηδὲ ἧττον ἁρμονίαν οὖσαν μηδὲ μᾶλλον μηδὲ ἧττον ἡρμόσθαι. ἔστιν οὕτως; Ἔστιν. Ἡ δὲ μήτε μᾶλλον μήθ' ἧττον ἡρμοσμένη ἔστιν ὅ τι πλέον ἢ ἔλαττον ἁρμονίας μετέχει, ἢ τὸ ἴσον; Τὸ ἴσον. Οὐκοῦν ψυχὴ ἐπειδὴ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἄλλη ἄλλης αὐτὸ τοῦτο ψυχή ἐστιν, οὐδὲν δὴ μᾶλλον οὐδὲ ἧττον ἥρμοσται; Οὕτως. Τοῦτο δέ γε πεπονθυῖα οὐδὲν πλέον ἀναρμοστίας οὐδὲ ἁρμονίας μετέχοι ἄν; Οὐ γὰρ οὖν. Τοῦτο δ' αὖ πεπονθυῖα ἆρ' ἄν τι πλέον κακίας ἢ ἀρετῆς μετέχοι ἑτέρα ἑτέρας, εἴ περ ἡ μὲν κακία ἀναρμοστία, ἡ δὲ ἀρετὴ ἁρμονία εἴη; Οὐδὲν πλέον. Μᾶλλον δέ γέ που, ὦ Σιμμία, κατὰ τὸν ὀρθὸν λόγον κακίας οὐδεμία ψυχὴ μεθέξει, εἴ περ ἁρμονία ἐστίν. ἁρμονία γὰρ δή που παντελῶς αὐτὸ τοῦτο οὖσα, ἁρμονία, ἀναρμοστίας οὔ ποτ' ἂν μετάσχοι. Οὐ μέντοι. Οὐδέ γε δή που ψυχή, οὖσα παντελῶς ψυχή, κακίας. Πῶς γὰρ ἔκ γε τῶν προειρημένων; Ἐκ τούτου ἄρα τοῦ λόγου ἡμῖν πᾶσαι ψυχαὶ πάντων ζώων ὁμοίως ἀγαθαὶ ἔσονται, εἴ περ ὁμοίως ψυχαὶ πεφύκασιν αὐτὸ τοῦτο ψυχαί, εἶναι; Ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες. Ἦ καὶ καλῶς δοκεῖ, ἦ δ' ὅς, οὕτω λέγεσθαι, καὶ πασχειν ἂν ταῦτα ὁ λόγος,

Virtue, according to Pythagoras also, is the harmony and unison of the soul, (Aristot. Eth. Nicom. ii. 5. cf. i. 4. Diog. Laert. viii. 33. Clem. Alex. Strom. iv. c. 23); or in other words, *similitude to God*, ὁμολογία προς τὸ θεῖον.

Μηδὲν μᾶλλον μηδ' ἧττον.] See Matthiæ Gr. s. 608. 3.

Εἴ περ ὁμοίως ψυχαὶ.] h. e. *Si quidem animæ pariter a natura hoc ipsum habeant, ut sint animæ.* WYTT.

Καὶ πάσχειν ἂν ταῦτα ὁ λόγος, κ. τ. λ.] i. e. Whether do you suppose that such an assertion could be made with any shew of justice, or that our reasoning should be subjected to the censure

εἰ ὀρθὴ ἡ ὑπόθεσις ἦν, τὸ ψυχὴν ἁρμονίαν εἶναι; Οὐδ' ὁπωστιοῦν, ἔφη.

§. 43. Τί δαί; ἦ δ' ὅς· τῶν ἐν ἀνθρώπῳ πάντων ἔσθ' ὅ τι ἄλλο λέγεις ἄρχειν ἢ ψυχήν, ἄλλως τε καὶ φρόνιμον; Οὐκ ἔγωγε. Πότερον ξυγχωροῦσαν τοῖς κατὰ τὸ σῶμα πάθεσιν ἢ καὶ ἐναντιουμένην; λέγω δὲ τὸ τοιόνδε, οἷον καύματος ἐνόντος καὶ δίψους ἐπὶ τοὐναντίον ἕλκειν, τὸ μὴ πίνειν, καὶ πείνης ἐνούσης ἐπὶ τὸ μὴ ἐσθίειν· καὶ ἄλλα που μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατα τὸ σῶμα. ἢ οὔ; Πάνυ μὲν οὖν. Οὐκοῦν αὖ ὡμολογήσαμεν ἐν τοῖς πρόσθεν μή ποτ' ἂν αὐτήν ἁρμονίαν γε οὖσαν, ἐναντία ᾄδειν οἷς ἐπιτείνοιτο καὶ χαλῷτο καὶ πάλλοιτο καὶ ἄλλο ὁτιοῦν πάθος πάσχοι ἐκεῖνα ἐξ ὧν τυγχάνοι οὖσα, ἀλλ' ἕπεσθαι ἐκείνοις καὶ οὔ ποτ' ἂν ἡγεμονεύειν; Ὡμολογήσαμεν, ἔφη· πῶς γὰρ οὔ; Τί οὖν; νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη, ἡγεμονεύουσά τε ἐκείνων πάντων ἐξ ὧν φήσει τις αὐτὴν εἶναι, καὶ ἐναντιουμένη ὀλίγου πάντα διὰ παντὸς τοῦ

of such senseless inferences if the position be correct, that the soul is a harmony?—Οὐδ' ὁπωστιουν, is to be referred to ἢ καὶ καλῶς δοκεῖ — οὔτ. λέγ. preced. making the sense of the passage; οὐδ' ὁπωστιοῦν καλῶς· δοκεῖ σοι οὕτω λέγεσθαι.

§. 43. Τί δαί, ἦ δ' ὅς·] — The last argument against the soul's being a harmony. The soul of the wise and prudent is always opposed to the passions and affections of the body, which, by various expedients it endeavours to curb and control. But if the soul were a harmony arising from and depending on the tension, relaxation, or vibration of the corporeal qualities, it could no more be independent of or opposed to them than the harmony of the lyre could be, which is evidently under the influence of the instrument itself. Whence the soul cannot be a harmony in this sense, or it would agree with the body, from which it is manifestly distinct in the case of all who choose to keep the body in subjection to the higher and more noble principle.

Οὐκοῦν αὖ ὡμ. ἐν τοῖς πρόσθεν.] Cf. supr. c. 42. init. Τί δέ—τῇδε; δοκεῖ σοι ἁρμονίᾳ ἢ ἄλλῃ τινὶ συνθέσει προσήκειν ἄλλως πως ἔχειν ἢ ὡς ἂν ἐκεῖνα ἔχῃ, ἐξ ὧν ἂν ξυγκίηται.— Heindorf gives Spalding's explication of the passage as supr.—ἐναντία ᾄδειν τούτοις ἃ (καθ' ἃ) ἐπιτείνοιτο καὶ χαλῷτο—ἐκεῖνα ἐξ ὧν τυγχ. οὖσα, i. e. ἐναντία ᾄδειν ταῖς ἐπιτάσεσι καὶ χαλάσεσι καὶ παλμοῖς καὶ ἄλλῳ ὁτῳοῦν πάθει ἐκείνων ἐξ ὧν τυγχ. οὖσα. Stallbaum compares a similarly remarkable species of attraction, Demosth. adv. Mid. p. 515. καὶ δίκην ἅμα βουλόμενοι λαβεῖν ὧν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο θρασὺν ὄντα καὶ βδελυρον, where ὧν is put for ἃ, depending on θρασὺν εἶναι. Buttm. in loc.

Ἐναντιουμένη — καὶ δεσπόζουσα.] Cf. Rep. iv. p. 440. Οὐκοῦν καὶ ἄλλοθι — πολλαχοῦ αἰσθανόμεθα, ὅταν βιάζωνταί τινα παρὰ τὸν λογισμὸν

βίου καὶ δεσπόζουσα πάντας τρόπους, τὰ μὲν χαλεπώτερον κολάζουσα καὶ μετ' ἀλγηδόνων, τά τε κατὰ τὴν γυμναστικὴν καὶ τὴν ἰατρικήν, τὰ δὲ πραότερον, καὶ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις καὶ ὀργαῖς καὶ φόβοις, ὡς ἄλλη οὖσα ἄλλῳ πράγματι διαλεγομένη; οἷόν που καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ πεποίηκεν, οὗ λέγει τὸν Ὀδυσσέα,

στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

ἆρ' οἴει αὐτὸν ταῦτα ποιῆσαι διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης καὶ οἵας ἄγεσθαι ὑπὸ τῶν τοῦ σώματος παθῶν, ἀλλ' οὐχ οἵας ἄγειν τε ταῦτα καὶ δεσπόζειν, καὶ οὔσης αὐτῆς πολὺ θειοτέρου τινὸς πράγματος ἢ

ἐπιθυμίαι, λοιδοροῦντα τε αὐτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὐτῷ, καὶ ὥς περ δυοῖν στασιαζόντοιν ξύμμαχον τῷ λόγῳ γιγνόμενον τὸν θυμὸν τοῦ τοιούτου.

Τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις.] Νουθετεῖν properly governs an accusative, but the case is sometimes determined by the remoter verb, as by ἀπειλοῦσα supr. Cf. Odyss. κ'. 531. ἐτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι. Soph. Antig. 537. καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας. Lobeck. ad. Soph. Aj. 475. p. 295.

Οὗ λέγει τὸν Ὀδυσσέα.] Odyss. υ. 17.—Στῆθος δὲ πλήξας. Plato makes a similar use of this argument, Rep. iii. p. 434. A. iv. p. 454. A. Cf. Heraclid. Allegor. Hom. p. 63. ed. Schow.—Ταῦτα τοίνυν ὥσπερ ἐκ πηγῆς τῶν Ὁμηρικῶν ἐπῶν εἰς τοὺς ἰδίους διαλόγους ὁ Πλάτων μετήρδευσεν· καὶ πρῶτόν γε περὶ τῶν ἀλόγων μερῶν τῆς ψυχῆς σκεπτέον· ὅτι μὲν γὰρ ὁ θυμὸς εἵληχε τὸν ὑποκάρδιον χῶρον, ὁ Ὀδυσσεὺς ποιήσει τοῦτο σαφὲς ἐν τῇ κατα μνηστήρων ὀργῇ, καθάπερ οἰκόν τινα τῆς μισοπονηρίας θυμοκρουστῶν τὴν καρδίαν. ‘Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ, Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο πότ' ἔτλης.’ Ἀφ' ἧς γὰρ αἱ θυμικαὶ ῥέουσι πηγαί, πρὸς ταύτην ὁ λόγος ἀποκλίνει. Proclus. in Rep. p. 392. ἐν Φαίδωνι μὲν γὰρ ὅπου διαφερόντως ὁ Σωκράτης τὴν ἑαυτοῦ ζωὴν ἀναπλοῖ, καὶ πᾶν τὸ τῆς ἐπιστήμης πλῆθος ἀνοίγει τοῖς ἑαυτοῦ ζηλωταῖς, πολλοῖς δή τισι καὶ παντοδαποῖς λόγοις καταδησάμενος ὡς ἄρα ἄλλη μέν ἐστιν ἡ ἁρμονία τῶν σωμάτων, ἄλλη δὲ ἡ ψυχῆς φύσις, καὶ διέζευκται ταῦτα κατ' οὐσίαν ἀπ' ἀλλήλων, τελευτῶν ἐπὶ τόνδε τὸν ποιητὴν καταφεύγει, καὶ τοῖς ἐκείνου ῥήμασιν ἐνεργεστάτοις τεκμηρίοις χρώμενος ἐξῃρημένην ἐπιδείκνυσι τὴν ψυχὴν τῆς περὶ τὸ σῶμα τῶν κράσεων ἁρμονίας· τὸ γὰρ διαμαχόμενόν φησι πρὸς τὴν ἐν τῷ στήθει τεταγμένην ζωὴν κινουμένην, καὶ λέγον ‘τέτλαθι δὴ κραδίη’ πάντως που κατὰ φύσιν ἐξήλλακται τούτου πρὸς ὃ διαμάχεται· καὶ τὸ κατεξανιστάμενον τοῦ σώματος οὐκ ἂν ἐν τῷ σώματι τὴν ὑποστασιν ἔχοι· καὶ οὕτω δὴ προϊὼν ὁ Σωκράτης καὶ συμπεραινόμενος ὅτι τὴν οὐσίαν τὴν ψυχῆς ἐρᾷν (f. ἐναντίαν) χρὴ φάναι τῆς τοῦ σώματος ἁρμονίας, ὥσπερ εἰς ἄφυκτον ἀνάγκην κατακλείων (sic. leg. pro ἀνακλείαν) τὸν σύμπαντα λόγον· οὔτε γὰρ ἂν φησιν Ὁμήρῳ θείῳ ποιητῇ ταύτῃ λέγοντες ὁμολογοῖμεν, οὔτε ἡμῖν αὐτοῖς.

Διανοούμενον ὡς ἁρμονίας — οὔσης.] See Matthiæ Gr. s. 569. 5.—Καὶ οἵας ἄγεσθαι, i. e. καὶ τοιαύτης ὥστε ἄγεσθαι. Matthiæ Gr. s. 476. a.

καθ' ἁρμονίαν; Νὴ Δία, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ. Οὐκ ἄρα, ὦ ἄριστε, ἡμῖν οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν τινὰ φάναι εἶναι· οὔτε γὰρ ἄν, ὡς ἔοικεν, Ὁμήρῳ θείῳ ποιητῇ ὁμολογοῖμεν οὔτε αὐτοὶ ἡμῖν αὐτοῖς. Ἔχειν οὕτως ἔφη.

§. 44. Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης, τὰ μὲν Ἀρ-

Ἢ καθ' ἁρμονίαν.] i. e. *Than that it could be compared to a harmony.*— When it is not a substantive, that is compared with another, but the quality of a thing expressed by an adjective that is considered in its proportion to another quality, and compared in degree with it (where in Latin *quam pro* is used), then ἢ κατα or ἢ πρός is put after the comparative. Matthiæ Gr. s. 449. c.

Νὴ Δία—ἔμοιγε δοκεῖ.] Sc. ταῦτα ποιῆσαι διανοούμενος ὡς αὐτῆς οὔσης οἵας ἄγειν τε ταῦτα καὶ δεσποζειν, &c. Simmias allows that, according to his view, the intention of Homer, in the passage as cited above, was to evince the superiority and sway of the mind over the body.

Οὐδαμῇ καλῶς ἔχει ψυχὴν ἁρμονίαν.] It is to be observed that the harmony against which Socrates has argued as being in any respect analogous to the soul, is totally distinct from the harmony alluded to c. 4. supr. a med. n. Ὡς φιλοσοφίας μὲν οὔσης μεγίστης μουσικῆς. The one being a physical harmony, arising from without, and necessarily dependent upon what is external and perishable in its origin and result; the other a moral, intellectual, or as Jamblichus calls it, a mathematical harmony, apud Stob. Eclog. Phys. p. 864., arising from the accordant affections of the soul, inseparable from and co-existent with the soul itself.

§. 44. Εἶεν δή, ἦ δ' ὃς ὁ Σωκράτης.] From this to c. 56. infr. Socrates argues against the position of Cebes, that although the soul was more excellent than the body, and lived before it, still by changing into one body after another it impaired and wasted its influence and strength, and at last was utterly destroyed. The answer is, that the nature of the soul is the same as that of things intelligible, that is, ideas and essences. For that anything should be beautiful, the immediate presence of beauty is required in the object, as that of heat, that anything should be warm, or life, that anything should exist. Now what is warm may be made cold, but heat itself cannot become cold; what is beautiful may be unsightly, but not so with beauty itself. For on the appearance of cold, heat is not changed into cold, but disappears, so beauty is not changed into, but gives place to deformity. Thus on the approach of death, the soul departs, and is not changed into death. For by the presence of the soul the body is animated and alive, and the nature of the soul is the same as that of those imperishable and undecaying ideas and essences which are innate in the mind; therefore the soul is immortal. Wyttenbach sums up the argument thus; the essences of things are constant and immutable, the essence of the soul consists in thought, therefore the soul can never lose the faculty of thought, consequently it is immortal.— This argument is objectionable upon other grounds, but principally owing to a defect in Plato's system of ideas, in not sufficiently distinguishing between those which originate in the mind itself and those which are acquired by experience, or by confounding, as Wyttenbach observes, things actual with things possible. For as anything set in motion cannot be otherwise understood than as changing its place, yet there is no necessity that it should be always in motion, or always exist. So with the soul, although it cannot be otherwise understood than as living, yet it cannot for this reason be conceded that it always lives or is eternal. But Plato arrived at this conclusion as one conformable to his design. For by deciding on the immutability of those ideas, and classing souls with them as identical in their nature, it followed that he should decide upon the soul's being no more possible to be deprived of life than a triangle could continue to be

μονίας ἡμῖν τῆς Θηβαϊκῆς ἴλεά πως, ὡς ἔοικε, μετρίως γέγονε· τί δὲ δὴ τὰ Κάδμου, ἔφη, ὦ Κέβης, πῶς ἱλασόμεθα καὶ τίνι λόγῳ; Σύ μοι δοκεῖς, ἔφη ὁ Κέβης,

one when deprived of its three sides.

The nature of this argument, and its application, is clearly and ably developed by V. Cousin. Œuvr. de Plat. i. p. 171.

"Ici se rencontre épisodiquement la théorie des *Idées*.

"Toute philosophie qui se renferme dans les phénomènes apparens du monde extérieur, se condamne à n'atteindre jamais ni les causes ni les principes. La physique croit faire merveille par exemple d'expliquer la situation dans laquelle je suis assis, par la disposition des os, la tension des muscles, n'oubliant rien dans le détail minutieux de ses laborieuses et superficielles explications, si ce n'est le principe réel, la cause première du phénomène, la détermination de ma volonté. L'erreur commune, celle du peuple et du physicien qui n'est pas philosophe, est de confondre l'apparence avec la réalité, ce sans quoi la cause ne pourrait pas se développer, avec la cause elle-même. 'La physique se perd dans une multitude de petites causes qui ne sont pas des causes, et prend pour une chimère la grande cause qui fait, lie et vivifie tout .... En parlant de la cause et du principe, il ne faut pas s'arrêter aux effets, si l'on veut pénétrer dans la réalité des choses.'

"La cause, le principe suprême, c'est l'intelligence.

"Les vrais principes, les vraies causes, ce sont donc les *idées*.

"L'*idée* est, dans chaque chose, l'élément intérieur et essentiel qui, s'ajoutant à la matière, l'organise et lui donne sa forme. L'idee est le type interne de toute chose.

"L'idee, ne venant pas du dehors, ne peut être saisie par les sens.

"Elle ne tombe pas davantage sous le raisonnement ; le caractère de la perception que nous en pouvons avoir, est d'être immédiate, simple et indécomposable. Par exemple, c'est l'idee seule du beau qui fait que toute chose belle, est belle. Qu'on y pense : ce n'est pas tel ou tel arrangement de parties, tel ou tel accord de formes, qui rend beau ce qui l'est ; car indépendamment de tout arrangement, de toute composition, chaque partie, chaque forme pouvait être déja belle, et serait belle encore, la disposition générale étant changée. La beauté se déclare par l'impossibilité immédiate où nous sommes de ne pas la trouver belle, c'est-à-dire, de ne pas être frappé par l'idée du beau qui s'y rencontre. On ne peut donner d'autre explication de la perception de l'idée du beau. Il en est de même du bien, du juste, de l'étendue et de la grandeur, de la quantité et du nombre, et des forces élémentaires de la nature.

"Sans doute ce n'est point ici le lieu de rechercher si la critique moderne, tout en reconnaissant la solidité et la profondeur des bases de cette théorie fameuse, pourrait en admettre toutes les applications, surtout celles qui se rapportent au détail des nombres ; mais on ne peut s'empêcher de remarquer, en passant, que la théorie de Platon a cela de propre et d'excellent parmi les théories idéalistes, qu'elle ne s'arrête pas à la qualité logique des idées et qu'elle va jusqu'à leur essence réelle. Les idées de Platon ne sont pas seulement des directions pour la pensée, comme les catégories d'Aristote et de Kant, ce sont des élémens intégrans de la réalité. Principes et causes tout ensemble, elles planent à la fois sur l'humanité et sur la nature, et réunissent en elles le *principium essendi* et le *principium cognoscendi*, si mal à propos divisés par la scholastique, comme si l'essence de l'être pouvait être destituée d'intelligence, ou que l'intelligence ne fût pas aussi de l'existence, et l'existence à la fois la plus puissante et la plus pure!

"Les idées, les principes et les causes, bien que, par leur rapport aux choses qu'elles animent et qu'elles constituent, elles tombent accidentellement dans le temps et dans l'espace, sont essentiellement étrangères aux revolutions de l'espace et du temps ; elles ne connaissent ni commencement ni fin pour elles-mêmes : elles sont éternelles, incorruptibles.

"Le caractère propre d'un vrai prin-

ἐξευρήσειν· τουτονὶ γοῦν τὸν λόγον τὸν πρὸς τὴν ἁρμονίαν θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν. Σιμμίου γὰρ λέγοντος ὅτε ἠπόρει, πάνυ ἐθαύμαζον εἴ τι ἔξει τις χρήσασθαι τῷ λόγῳ αὐτοῦ· πάνυ οὖν μοι ἀτόπως ἔδοξεν εὐθὺς τὴν πρώτην ἔφοδον οὐ δέξασθαι τοῦ σοῦ λόγου. ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι καὶ τὸν τοῦ Κάδμου λόγον εἰ πάθοι. Ὦ γαθέ, ἔφη ὁ Σωκράτης, μὴ μέγα λέγε, μή τις ἡμῖν βασκανία πε-

cipe, d'une vraie cause, c'est d'exclure son contraire, et même le contraire de ce qui émane directement d'elle. Or, suivant Platon, et toute l'école platonicienne, dont Stalh n'a fait que recueillir la tradition, l'ame est le principe, la cause de la vie: 'Si vous demandiez ce qui fait que tel corps est chaud, je ne répondrais pas, ce qui est bien vrai, mais n'explique rien, que c'est la chaleur; mais, allant d'abord au principe, je répondrais avec précision, que c'est le feu. Si l'on demandait ce qui fait que telle personne est malade, je ne répondrais pas, c'est la maladie, mais la fièvre; si, quelle est la raison de l'impair, je ne dirais pas l'imparité, mais l'unité. De même ici, m'élevant à l'idee primitive, au principe, à la cause de la vie, je dis que c'est l'ame.' Ainsi l'ame, constituant la vie, et excluant, en sà qualite de principe, le contraire de ce qu'elle constitue, et ce contraire étant ici la mort, elle n'a rien à craindre de la mort, et l'exclut éternellement. Elle est donc éternelle et incorruptible."

Τὰ μὲν Ἁρμονίας.] i. q. Ἁρμονία; whence ἵλεά, which in its proper sense is applied to the propitiation of a deity. Tr. *The Theban Harmonia has been tolerably well reconciled*, or *appeased*. Harmonia was the daughter of Venus and Mars, and wife of Cadmus, whence Socrates makes mention of her, as supr., in allusion to the native country of Simmias as well as to the nature of his argument, that the soul was a harmony, which as represented by the deity Harmonia, the philosopher professes to have now in some degree propitiated, by his success in convincing Simmias. Hence he passes to the doubts proposed by Cebes, also a Theban, which by a natural transition he designates as τὰ Κάδμου A more recondite sense has been attributed to the above passage by different commentators, less felicitous than ingenious: the explanation given by Dacier affords a satisfactory specimen of the rest; i. e. that as Amphion by the harmony of his lyre built the walls of Thebes, so Simmias formed, by his harmony, the human soul: and as Cadmus, having sowed the dragon's teeth, produced the men who almost immediately perished, so Cebes by his argument would destroy the soul!

Εἴ τι ἔξει τις χρήσασθαι.] *If one could be able to do anything with his argument*, i. e. if one could extricate himself by any means from the difficulty which, as Cebes had supposed, lay in the way of any attempt to answer Simmias. Cf. Hipp. Maj. p. 299. B. ἀλλ' ἔχεις τι χρῆσθαι τῷ λογῷ ἢ τι καὶ ἄλλο ἐροῦμεν.

Ταὐτὰ δὴ οὐκ ἂν θαυμάσαιμι.] *I should not be surprised if the same thing should befal the argument of Cadmus*, (Cebes' own,) i. e. that it should at once prove unable to withstand the first encounter of Socrates' reply.

Μή τις ἡμῖν βασκανία.] Socrates asks of Cebes not to commend or eulogise him too highly, lest the efficacy of his future reasoning should be defeated by that fascination, βασκανία, by which those who had been too much commended by others, were in danger of losing the advantages in which they were said to excel. Upon the βασκανία, or *evil eye*, so called, παρὰ τὸ φάεσι καίνειν, *from destroying with the eyes*, see Potter, Grec. Antiq. i. c. 18. sub. fin. This power of fascination was called by the Latins *fascinus*; and the usual remedy

ριτρέψῃ τὸν λόγον τὸν μέλλοντα λέγεσθαι. ἀλλὰ δὴ ταῦτα μὲν τῷ θεῷ μελήσει, ἡμεῖς δὲ Ὁμηρικῶς ἐγγὺς ἰόντες πειρώμεθα εἰ ἄρα τι λέγεις. ἔστι δὲ δὴ τὸ κεφάλαιον ὧν ζητεῖς· ἀξιοῖς ἐπιδειχθῆναι ἡμῶν τὴν ψυχὴν ἀνώλεθρόν τε καὶ ἀθάνατον οὖσαν, εἰ φιλόσοφος ἀνὴρ μέλλων ἀποθανεῖσθαι, θαῤῥῶν τε καὶ ἡγούμενος ἀποθανὼν ἐκεῖ εὖ πράξειν διαφερόντως ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτελεύτα, μὴ ἀνόητόν τε καὶ ἠλίθιον θάῤῥος θαῤῥήσει. Τὸ δὲ ἀποφαίνειν ὅτι ἰσχυρόν τί

for its injurious effects was the herb *baccar*. Cf. Virgil, Eclog. vii. 27. "Aut si ultra placitum laudarit baccare frontem Cingite, ne vati noceat mala lingua futuro." and Serv. in loc. "quicquid ultra meritum laudatur, dicitur fascinari." Hence the Greeks, when expressing their approval of any person or thing, used the terms *μετὰ προβασκανίου*, or *ἀβασκάντως*, and the Latins used to add to their praises *præfiscine*, or *præfiscine dixerim*, to avert the mischief of the evil eye. The goddess Nemesis was supposed to have been the cause of this infliction, which was intended as a judgment on the arrogant and proud; whence de Legg. iv. p. 601. D. *κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία· πᾶσι γὰρ ἐπίσκοπος τοῖς περὶ τὰ τοιαῦτα Δίκης Νέμεσις ἄγγελος.* For *περιτρίψῃ* Ruhnken proposes *περιστρίψῃ*. It will be observed that in this word the metaphor is kept up from *ἔφοδον δίχεσθαι* supr.

Ὁμηρικῶς.] Explained by Stephens, *ut Homeri verbis utar, τὸ τοῦ Ὁμήρου*; in which sense, however, it should rather have been written *ὡς Ὁμ. εἰπεῖν*. The term is better explained by Heindorf, to mean *after the manner of Homer's heroes*, i. e. boldly, undauntedly. Cf. Iliad. *δ'*. 496. *ι'*. 611.

Ἀξιοῖς ἐπιδειχθῆναι.] i. e. *You require that the soul should be proved to be imperishable and immortal, if a philosopher on the eve of death, full of confidence and expectation that after his decease he will be far happier than if he had died, having passed through a different life* (i. e. from that of a philosopher), *is to entertain this confidence on wise and prudent grounds.* Socrates adds *ἢ εἰ ἐν ἄλλῳ βιῳ βιοὺς ἐτελεύτα*, as if summing up anew the former part of the argument, in which he had shown that philosophers, only, were admitted after death to the society of the gods, and consequently to a happier life. Heindorf observes that there is no occasion to supply *δεῖν* to the verbs *ἡγεῖσθαι, λογίζεσθαι, οἴεσθαι δοκεῖν νομίζειν*, when used in the same signification as *ἀξιοῦν, æquum, s. opus judicare.* Whence it need not be understood either to *ἀξιοῖς* supr. For *ἢ εἰ ἐν ἄλλῳ βίῳ βιοὺς ἐτ.* Wyttenbach proposes *ἢ ἐν ἄλλῳ βίῳ ἐν ᾧ βιοὺς ἐτ.*

Τὸ δὲ ἀποφαίνειν, κ. τ. λ.] i. e. *But the demonstration that the soul is something potent and divine, and that it was yet in existence before we were born ourselves—you say there is nothing to prevent all this from signifying, not that the soul is immortal* (an immortality,) *but only that it is of a long duration, and pre-existed for an immeasurable time, and was both conversant with and engaged in the execution of many things.* The difficulty of this passage, which all the editions read as supr., arises from the construction *ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιον, κ. τ. λ.* which Heindorf proposes to obviate by reading; *οὐδὲν κωλύειν φὴς πάντα ταῦτα μηνύειν οὐ τὴν ἀθανασίαν, ἀλλὰ μόνον ὅτι πολυχρόνιόν τέ ἐστι, κ. τ. λ.*; the meaning of the passage being certainly this, that all the arguments advanced by Socrates had only gone the length of establishing satisfactorily the soul's pre-existence and durability, but assuredly not its immortality. But, as Stallbaum observes, there is no change requisite in the text to elucidate its sense, for what

ἐστιν ἡ ψυχὴ καὶ θεοειδές, καὶ ἦν ἔτι πρότερον πρὶν ἡμᾶς ἀνθρώπους γενέσθαι, οὐδὲν κωλύειν φὴς πάντα ταῦτα μηνύειν ἀθανασίαν μὲν μή, ὅτι δὲ πολυχρόνιόν τ' ἐστὶ ψυχὴ καὶ ἦν που πρότερον ἀμήχανον ὅσον χρόνον καὶ ἤδει τε καὶ ἔπραττε πόλλ' ἄττα· ἀλλὰ γὰρ οὐδέν τι μᾶλλον ἦν ἀθάνατον, ἀλλὰ καὶ αὐτὸ τὸ εἰς ἀνθρώπου σῶμα ἐλθεῖν ἀρχὴ ἦν αὐτῇ ὀλέθρου, ὥς περ νόσος, καὶ ταλαιπωρουμένη τε δὴ τοῦτον τὸν βίον ζῴη καὶ τελευτῶσά γε ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. διαφέρει δὲ δή, φῄς, οὐδὲν εἴτε ἅπαξ εἰς σῶμα ἔρχεται εἴτε πολλάκις, πρός γε τὸ ἕκαστον ἡμῶν φοβεῖσθαι· προσήκει γὰρ φοβεῖσθαι, εἰ μὴ ἀνόητος εἴη, τῷ μὴ εἰδότι μηδ' ἔχοντι λόγον διδόναι ὡς ἀθάνατόν ἐστι. τοιαῦτ' ἄττα ἐστίν, οἶμαι, ὦ Κέβης, ἃ λέγεις· καὶ ἐξεπίτηδες πολλάκις ἀναλαμβάνω, ἵνα μή τι διαφύγῃ ἡμᾶς, εἴ τέ τι βούλει, προσθῇς ἢ ἀφελῇς. Καὶ ὁ Κέβης, Ἀλλ' οὐδὲν ἔγωγε ἐν τῷ παρόντι, ἔφη, οὔτ' ἀφελεῖν οὔτε προσθεῖναι δέομαι· ἔστι δὲ ταῦτα ἃ λεγω.

might have been expressed simply thus; *πάντα ταῦτα μηνύειν μόνον, ὅτι πολυχρόνιόν τέ ἐστι*, κ. τ. λ. might, when the contrary argument respecting the soul's immortality was mentioned, have been more fully expressed; *ἀθανασίαν μὲν μή, ὅτι δέ*, &c. in which *ἀθαν. μὲν μή* is a kind of equivalent for the omission of *μόνον*. The reason is obvious also for the use of *μή* instead of *οὔ*, as Socrates was speaking the opinion of Cebes. See Matthiæ Gr. s. 608. 5. e.—Hence *ἄλλὰ γὰρ οὐδέν τι μ.*, κ. τ. λ. seq. which are also spoken as the opinion of Cebes, must be referred to, and closely connected in sense with *ὅτι πολυχρόν. ἐστ.—ἔπραττ. πολλ ἄττ.* preced. Tr. *But nothing the more was the soul immortal* (i. e. *in its pre-existence, before it was united to the body,*) *but its very entrance into the human body, like a disease, was the very principle and cause of its decay. Wherefore it passed through this life in misery and perished finally in that which is called death.* Upon the legitimate use of the optatives *ζῴη* and *ἀπολλύοιτο* without the cunjunction which as well as *ἄν* is sometimes omitted, see Matthiæ Gr. s. 529. 1. 3.

Πρὶν ἡμας ἀνθρώπους γενέσθαι.] i. e. *Πρὶν ἡμᾶς (τὴν ψυχὴν ἡμῶν) εἰς ἀνθρώπου σῶμα ἐλθεῖν.*

Οὐδέν τι μᾶλλον ἦν ἀθάνατον.] Sc. Previous to its junction with the body.—*ἀθάνατον*, h. l. signifies *endued with an immortal nature.*

Διαφέρει δὲ δή, φῄς, οὐδὲν, κ. τ. λ.] i. e. *But you assert that it makes no difference whether the soul is united to a body once, or often times, as far as regards our several apprehensions; for it is right that he should feel afraid, unless he is a fool, who is not fully aware, and cannot advance a satisfactory argument in favour of the immortality of the soul;* that is, he must feel afraid, and justly, lest the soul being eventually exhausted, should perish in the same death as the last body which it had ceased to animate.

§. 45. Ὁ οὖν Σωκράτης συχνὸν χρόνον ἐπισχὼν καὶ πρὸς ἑαυτόν τι σκεψάμενος, Οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς· ὅλως γὰρ δεῖ περὶ γενεσεως καὶ φθορᾶς τὴν αἰτίαν διαπραγματεύσασθαι. ἐγὼ οὖν σοι δίειμι περί αὐτῶν, ἐὰν βούλῃ, τά γε ἐμὰ πάθη· ἔπειτα ἄν τί σοι χρήσιμον φαίνηται ὧν ἂν λέγω, πρὸς τὴν πειθὼ περὶ ὧν λέγεις χρήσει. Ἀλλὰ μήν, ἔφη ὁ Κέβης, βούλομαί γε. Ἄκουε τοίνυν ὡς ἐροῦντος. ἐγὼ γάρ, ἔφη, ὦ Κέβης, νέος ὢν θαυμαστῶς ὡς ἐπεθύμησα ταύτης τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδοκει εἶναι, εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαν-

Εἴ τι βούλει, προσθῇς ἢ ἀφέλῃς.] h. e. Καὶ ἵνα, εἴ τι βούλει, προσθῇς ἢ ἀφέλῃς. Cf. Matthiæ Gr. s. 516. 3.

Προσθεῖναι δέομαι.] i. e. βούλομαι. *I desire to add nothing more.*

§. 45. Οὐ φαῦλον πρᾶγμα.] *No trivial matter,* — Περὶ γενέσεως, see Matthiæ Gr. s. 380. 4.

Τά γε ἐμὰ πάθη.] h. e. Ἃ ἐγὼ ἔπαθον.— Socrates proceeds to show how he was, himself, affected in the course of this investigation.

Ἐγὼ γάρ ἔφη—νέος ὢν θ.] By some, what is stated by Socrates here is supposed to be applicable to himself, by others, it is understood to refer more distinctly to Plato, upon other grounds besides the doctrine of ideas infr. c. 49.— Τῆς σοφίας ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν, *of the wisdom which they call a knowledge of nature,* i. e. natural philosophy. The starting point of philosophy was the question concerning the origin and the elementary principles of the world; the resolution of which was attempted, after the experimental method, by the Ionic school, and the formal by the Pythagoreans. The Eleatic school opposed to each other the experimental and intellectual systems, which were combined by the Atomistic philosophers. Last of all came a sophistical school, which threatened to destroy all belief, religious and moral. But this progress of investigation was a sort of prelude to a more scientific philosophy, which by-and-by turned from the external *object* to the internal *subject*; from the world without to the mind within. Tennemann, Hist. Phil. 83. 84. The study of human nature, self-knowledge, observes V. Cousin, was, according to Socrates, the true beginning of philosophy; who, while the Pythagoreans, before him, placed all philosophy in theology, and the Ionians in physics, was the first to show that the relation in which man stands to the world and to God, is by virtue of his own nature, and that nature's laws. Wherefore this nature ought to be primarily and preferably examined into and investigated, to the end, that when once the nature of human beings is known, we may understand their true relations to what is not known—to the world and to God. In a word, Socrates added psycology to theology and cosmology, or substituted it for them. Introduction generale à L' Histoire de la Philos. 3me. Leçon. The name ἱστορία φύσεως was anciently applied generally to that knowledge of nature and acquaintance with its principles, which resulted, in practice and theory, from observation and reason.

Ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι.] Sc. αὕτη ἡ σοφία. *For this appeared to me to be a consummate wisdom, to be ac-*

τὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῶα ξυντρέφεται, καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ

quainted with the causes of every thing, &c.—εἰδέναι τὰς αἰτίας being added in explanation of ὑπερήφ. γάρ μοι preced. Heindorf compares Gorg. p. 462. C. οὐκουν καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι οἷόν τ' εἶναι ἀνθρώποις.

§. 50. Εἶναι τι ἕκαστον τῶν εἰδῶν.] i. e. *That every idea* (or intelligible form,) *was something, self-existent, and that other things,* τἄλλα, (i. e. distinct from these ideas, submitted to the senses), *participated in the former so as to receive their name*; as, for instance, *true* includes the idea of *truth, good* of *goodness, beautiful* of *beauty, greatness* of *great*, from which they are severally so called. Cf. Parmenid. p. 140. C. δοκεῖ σοι εἴδη εἶναι ἄττα, ὧν τάδε τὰ ἄλλα μεταλαμβάνοντα τὰς ἐπωνυμίας αὐτῶν ἴσχειν. οἷον ὁμοιότητος μὲν μεταλαμβάνοντα ὅμοια, &c. — Parmenid. c. 13. τὰ εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει· τά τε ἄλλα τούτοις ἐοικέναι, καὶ εἶναι ὁμοιώματα.—where as supr. τὰ ἄλλα, elsewhere called also τὰ ἕτερα is to be understood of the things submitted to the senses. Cf. supr. c. 10. a med. τι εἶναι δίκαιον sqq. c. 20. init. οἷς ἐπισφραγιζόμεθα τοῦτο, ὃ ἔστι. It is to be observed that εἶδος and ἰδέα are used indifferently in this dialogue, as in the Parmenides which contains the whole substance of the system. Parmenid. p. 56. F. Οἶμαί σε ἐκ τοῦ τοιῶνδε ἓν ἕκαστον εἶδος οἴεσθαι εἶναι· ὅταν πολλ' ἄττα μεγάλα δοξῇ σοι εἶναι, μία τις ἴσως δοκεῖ ἰδέα αὕτη εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν τὸ μέγα ἡγῇ εἶναι· p. 57. D. F. Οὐκ ἄρα ὑπό γε ἡμῶν γιγνώσκεται τῶν εἰδῶν οὐδέν·—Ἄγνωστον ἄρα ἡμῖν ἐστι καὶ αὐτὸ τὸ

καὶ τούτων τἆλλα μεταλαμβάνοντα αὐτῶν τούτων τὴν ἐπωνυμίαν ἴσχειν, τὸ δὴ μετὰ ταῦτα ἠρῶτα, Εἰ δή, ἦ δ' ὅς, ταῦτα οὕτω λέγεις, ἆρ' οὐχ, ὅταν Σιμμίαν Σωκράτους φῇς μείζω εἶναι, Φαίδωνος δὲ ἐλάττω, λέγεις τότ εἶναι ἐν τῷ Σιμμίᾳ ἀμφότερα, καὶ μέγεθος καὶ σμικρότητα; Ἔγωγε. Ἀλλὰ γάρ, ἦ δ' ὅς, ὁμολογεῖς τὸ τὸν Σιμμίαν ὑπερέχειν Σωκράτους οὐχ ὡς τοῖς ῥήμασι λέγεται οὕτω καὶ τὸ ἀληθὲς ἔχειν; οὐ γάρ που πεφυκέναι Σιμμίαν ὑπερέχειν τούτῳ τῷ Σιμμίαν εἶναι, ἀλλὰ τῷ μεγέθει ὃ τυγχάνει ἔχων· οὐδ' αὖ Σωκράτους ὑπερέχειν ὅτι Σωκράτης ὁ Σωκράτης ἐστίν, ἀλλ' ὅτι σμικρότητα ἔχει ὁ Σωκράτης πρὸς τὸ ἐκείνου μέγεθος. Ἀληθῆ. Οὐδέ γε αὖ ὑπὸ Φαίδωνος ὑπερέχεσθαι τῷ ὅτι Φαίδων ὁ Φαίδων ἐστίν, ἀλλ' ὅτι μέγεθος ἔχει ὁ Φαίδων πρὸς τὴν Σιμμίου σμικρότητα; Ἔστι ταῦτα. Οὕτως ἄρα ὁ Σιμμίας ἐπω-

καλὸν ὅ ἐστι, καὶ τὸ ἀγαθόν· καὶ πάντα ἃ δὴ ὡς ἰδέας αὐτὰς οὔσας ὑπολαμβάνομεν. H. τοιαῦτα—καὶ ἔτι ἄλλα πρὸς τούτοις πάνυ πολλὰ ἀναγκαῖον ἔχειν τὰ εἴδη, εἰ εἰσὶν αὗται αἱ ἰδέαι τῶν ὄντων. p. 58. A.—εἰ δή γε τις. ὦ Σώκρατες, αὐ μὴ ἐάσῃ εἴδη τῶν ὄντων εἶναι, εἰς πάντα τὰ δὴ νῦν καὶ ἄλλα τοιαῦτα ἀποβλέψας, μηδὲ ὁριεῖται εἶδος ἑνὸς ἑκάστου, οὐδὲ ὅποι τρέψει τὴν διάνοιαν ἕξει, μὴ ἓν ἰδέαν τῶν ὄντων ἑκάστου τὴν αὐτὴν ἀεὶ εἶναι. Aristot. Metaph. xii. 4. περὶ δὲ τῶν ἰδεῶν πρῶτον αὐτὴν τὴν κατὰ τὴν ἰδέαν δόξαν ἐπισκεπτέον—ὡς ὑπέλαβον ἐξ ἀρχῆς οἱ πρῶτοι τὰς ἰδέας φήσαντες εἶναι· συνέβη δὲ ἡ περὶ τῶν εἰδῶν δόξα τοῖς εἰποῦσι διὰ τὸ πεισθῆναι περὶ τῆς ἀληθείας τοῖς Ἡρακλειτείοις λόγοις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων. Plotin. Enn. i. vi. 8. p. 58. A. ἥξει γὰρ πρῶτον ἀναβαίνων ἐπὶ τὸν νοῦν· κἀκεῖ πάντα εἴσεται καλὰ τὰ εἴδη, καὶ φήσει τὸ κάλλος τοῦτο εἶναι τὰς ἰδέας. Enn. iii. ix. 1. p. 356. A. Νοῦς φησὶν ὁρᾷ ἐνούσας ἰδέας ἐν τῷ ὃ ἐστι ζῶον· —οὐκοῦν φησὶν ἤδη εἶναι τὰ εἴδη πρὸ τοῦ νοῦ. They are sometimes, however, mentioned as distinct, and ἰδέα is understood as the immaterial essence or exemplar, εἶδος the form of the external object which is modelled after the preceding. Cf. Senec. Epist. 58. p. 150. Olympiod. in Phæd. Cod. iii. p. 35. ὅτι ἐστὶ τὰ εἴδη· οὔτε φημὶ αἱ ἰδέαι, ἀλλὰ τὰ ἐν τῇ ψυχῇ εἴδη—where ἰδέαι has the same sense as supr., and εἴδη is applied to mental perceptions.

Ἴσχειν.] Mœris: Ἴσχειν, Ἀττικῶς· ἔχειν, Ἑλληνικῶς.

Οὕτω καὶ τὸ ἀληθὲς ἔχειν.] i. e. That Simmias did not in reality exceed Socrates, as he was said to do, for Simmias was not so adapted by nature as because of his being Simmias to exceed Socrates, but by reason of the magnitude which he had as compared with the parvitude of Socrates. The object of this is to show, that it is only relatively speaking that the same thing can be said to be small and great. Simmias was small, compared to Phædo, but his parvitude could not admit its contrary, the magnitude of the latter; neither could his magnitude admit of the relative parvitude of Socrates; therefore, in reality, the contraries, magnitude and parvitude, did not and could not meet together in Simmias.—The application of this will appear subsequently.

Πρὸς.] *In comparison with.*

νυμίαν ἔχει σμικρός τε καὶ μέγας εἶναι, ἐν μέσῳ ὢν ἀμφοτέρων, τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν τὴν σμικρότητα ὑπερέχων, τῷ δὲ τὸ μέγεθος τῆς σμικρότητος παρέχων ὑπερέχον. Καὶ ἅμα μειδιάσας, Ἔοικα, ἔφη, καὶ ξυγγραφικῶς ἐρεῖν, ἀλλ' οὖν ἔχει γέ που ὡς λέγω. Ξυνέφη. Λέγω δὲ τοῦδ' ἕνεκα, βουλόμενος δόξαί σοι ὅ περ ἐμοί. ἐμοὶ γὰρ φαίνεται οὐ μόνον

Ἐπωνυμίαν ἔχει.] i. e. Ὀνομάζεται εἶναι. Cf. Herodot. ii. 44. ἱρὸν Ἡρακλέος, ἐπωνυμίαν ἔχοντος Θασίου εἶναι.

Τοῦ μὲν τῷ μεγέθει ὑπερέχειν.] i. e. *Surpassing the parvitude of the one by his magnitude, but yielding to the other a magnitude which surpasses his own parvitude;* V. Cousin arranges and explains the passage correctly; Ὑπερέχων τοῦ μὲν (κατὰ) τὴν σμικρότητα τῷ ὑπερέχειν μεγέθει, *surpassant l'un dans sa petitesse, par la superiorite de sa grandeur,* καὶ παρέχων τῷ δὲ, *et laissant à l'autre, reconnaissant en lui, lui accordant parce qu'il ne peut pas ne pas lui accorder* τὸ μεγέθος ὑπερέχον τῆς σμικρότητος, *une grandeur qui surpasse sa petitesse.* Heindorf and Wyttenbach propose emendations of this passage as corrupt, which, however, from the interpretation as supr. appear unnecessary; the one would read τοῦ μὲν τὴν σμικρότητα τῷ μεγέθει ὑπερέχων, τοῦ δὲ τῷ μεγέθει τῆς σμικρότητος παρέχων ὑπεροχήν, *alterius parvitatem magnitudine* (sua) *superans, alterius vero magnitudini parvitatem* (suam) *superandam præbens:* the other remodels the whole; τῷ μὲν, τῷ μεγέθει ὑπερέχειν, τὴν σμικρότητα παρέχων. τῷ δὲ τὸ μεγέθος, τῆς σμικρότητος ὑπερέχον· i. e. *illi quidem, quod magnitudine eum superat, parvitatem præbens huic autem magnitudinem, quæ parvitatem superat.*

Ξυγγραφικῶς.] i. e. *To speak with the accuracy of a written contract;* owing to the minute attention with which he discussed the subject in its several details. Fischer interprets the term *historicorum more,* and Wyttenbach, *scriptorum ratione,* both incorrectly.

Λέγω δὲ τοῦδ' ἕνεκα, βουλόμενος.] i. e. Ὅτι βουλομαι. See Matthiæ Gr. s. 505. 2.

Ἐμοὶ γὰρ φαίνεται οὐ μόνον, κ.τ.λ.] *For it appears to me not only that magnitude itself* (the abstract idea) *is never disposed to be at the same time great and small, but that the magnitude also in ourselves* (the concrete, in a sensible object) *never admits the small nor is disposed to be surpassed, but one of the two cases occurs, either that it retires and withdraws upon the approach of its contrary, the small, or ceases to exist when it has actually come, but it is not disposed, abiding and admitting parvitude, to be anything else than what it was before;* Socrates means now to say that in reality neither absolute nor relative magnitude and parvitude could exist together at the same time, for magnitude either withdrew as parvitude advanced, or completely disappeared when it had arrived, but it never was disposed by awaiting and admitting parvitude to become different from what it was before, which in such a case it should be, as it might then be as well affirmed to be parvitude as magnitude, which never could occur, for the one being great, never endured (τετόλμηκε) to be the other, small.—Ὡς περ ἐγὼ δεξάμενος, κ. τ. λ.—Magnitude, Socrates had observed, is not disposed by the admission of an opposite quality to be different from what it was, but was actually and in truth determined to remain the same, in like manner as Socrates who had received and sustained parvitude, and still continuing the same, was the same small individual, and had not admitted magnitude with which its contrary could not evidently coexist. This passage, ὥς περ ἐγὼ—ὁ αὐτὸς σμικρός εἰμι. is introduced parenthetically as an illustration of the truth and justice of what precedes. Stallbaum explains ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμ. κ. τ. λ.; *Quum autem* τὸ μέγεθος τὸ ἐν ἡμῖν *sustinuit et in se recepit parvita-*

αὐτὸ τὸ μέγεθος οὐδέποτ' ἐθέλειν ἅμα μέγα καὶ σμικρὸν εἶναι, ἀλλὰ καὶ τὸ ἐν ἡμῖν μέγεθος οὐδέποτε προσδέχεσθαι τό σμικρὸν οὐδ' ἐθέλειν ὑπερέχεσθαι, ἀλλὰ δυεῖν τὸ ἕτερον, ἢ φεύγειν καὶ ὑπεκχωρεῖν ὅταν αὐτῷ προσίῃ τὸ ἐναντίον, τὸ σμικρόν, ἢ προσελθόντος ἐκείνου ἀπολωλέναι· ὑπομένον δὲ καὶ δεξάμενον τὴν σμικρότητα οὐκ ἐθέλειν εἶναι ἕτερον ἢ ὅ περ ἦν, ὥς περ ἐγὼ δεξάμενος καὶ ὑπομείνας τὴν σμικρότητα, καὶ ἔτι ὢν ὅς περ εἰμί, οὗτος ὁ αὐτὸς σμικρός εἰμι· ἐκεῖνο δὲ οὐ τετόλμηκε μέγα ὂν σμικρὸν εἶναι. ὡς δ' αὕτως καὶ τὸ σμικρὸν τὸ ἐν ἡμῖν οὐκ ἐθέλει ποτὲ μέγα γίγνεσθαι οὐδὲ εἶναι, οὐδὲ ἄλλο οὐδὲν τῶν ἐναντίων ἔτι ὂν ὅ περ ἦν ἅμα τοὐναντίον γίγνεσθαί τε καὶ εἶναι, ἀλλ' ἤτοι ἀπέρχεται ἢ ἀπόλλυται ἐν τούτῳ τῷ παθήματι. Παντάπασιν, ἔφη ὁ Κέβης, οὕτω φαίνεταί μοι.

§. 51. Καί τις εἶπε τῶν παρόντων ἀκούσας—ὅς τις δ' ἦν, οὐ σαφῶς μέμνημαι—Πρὸς θεῶν, οὐκ ἐν τοῖς πρόσθεν ἡμῖν λόγοις αὐτὸ τὸ ἐναντίον τῶν νυνὶ λεγομένων ὡμολογεῖτο, ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον γίγνεσθαι καὶ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, καὶ ἀτεχνῶς αὕτη εἶναι ἡ γένεσις τοῖς ἐναντίοις ἐκ τῶν ἐναντίων; νῦν δέ μοι δοκεῖ λέγεσθαι ὅτι τοῦτο οὐκ ἄν ποτε γένοιτο. Καὶ ὁ Σωκράτης παραβαλὼν τὴν κε-

tem, videtur tamen non aliud esse velle, quam quod erat antea ; which as well as the accompanying note is neither correct nor intelligible. Wyttenbach's interpretation is equally infelicitous; *alterum de duobus accidit: aut fugit et decedit veniente contrario, scilicet parvitate : aut quum venerit contrarium, perit expectans et suscipiens parvitatem, nec tamen aliud vult esse quam quod fuerat.* The conclusion to which Socrates intended to come was simply this; one might be said, when spoken of relatively, to possess at the same time the opposite qualities, i. e. the contraries, magnitude and parvitude, but they could not in reality coexist or be reciprocated in the concrete, any more than their ideas themselves could coexist, or be reciprocated in the abstract, so as to be indifferently affirmed of each other, that magnitude was parvitude or *vice versa.* The application of this argument, which is continued through the four preceding chapters, will be found at the close of c. 54. and in c. 55.

Οὐκ ἐθέλει ποτὲ μέγα—] *Is neither disposed to become, nor to be great.*

§. 51. Ἐν τοῖς πρόσθεν ἡμῖν λόγοις.] Cf. supr. c. 15. sqq.

Παραβαλὼν τὴν κεφαλήν.] *Having moved his head forward;* to hear more

φαλὴν καὶ ἀκούσας, Ἀνδρικῶς, ἔφη, ἀπεμνημόνευκας, οὐ μέντοι ἐννοεῖς τὸ διαφέρον τοῦ τε νῦν λεγομένου καὶ τοῦ τότε. τότε μὲν γὰρ ἐλέγετο ἐκ τοῦ ἐναντίου πράγματος τὸ ἐναντίον πρᾶγμα γίγνεσθαι, νῦν δὲ ὅτι αὐτὸ τὸ ἐναντίον ἑαυτῷ ἐναντίον οὐκ ἄν ποτε γένοιτο, οὔτε τὸ ἐν ἡμῖν οὔτε τὸ ἐν τῇ φύσει. τότε μὲν γάρ, ὦ φίλε, περὶ τῶν ἐχόντων τὰ ἐναντία ἐλέγομεν ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ, νῦν δὲ περὶ ἐκείνων αὐτῶν ὧν ἐνόντων ἔχει τὴν ἐπωνυμίαν τὰ ὀνομαζόμενα· αὐτὰ δ' ἐκεῖνα οὐκ ἄν ποτέ φαμεν ἐθελῆσαι γένεσιν ἀλλήλων δέξασθαι. Καὶ ἅμα βλέψας εἰς τὸν Κέβητα εἶπεν, Ἆρα μή που, ἔφη, ὦ Κέβης, καὶ σέ τι τούτων ἐτάραξεν ὧν ὅδε εἶπεν; Οὐδ' αὖ, ἔφη ὁ Κέβης, οὕτως ἔχω· καί τοι οὔ τι λέγω ὡς οὐ πολλά με ταράττει. Ξυνωμολογήκαμεν ἄρα, ἦ δ' ὅς, ἁπλῶς τοῦτο, μηδέποτε ἐναντίον ἑαυτῷ τὸ ἐναντίον ἔσεσθαι. Παντάπασιν, ἔφη.

distinctly, as the objection was probably made in a low voice and hesitatingly, as in the case of Simmias and Cebes supr. c. 35.—Οὐ μέντοι ἐννοεῖς, *you do not, however, observe the distinction between what is advanced now and at that time, &c.*

Ἐκ τοῦ ἐναντίου πράγματος.] Socrates, supr. c. 15., spoke of things which are capable of producing, receiving, and reciprocating their contraries, as for instance, in the case of anything becoming greater, it must have been formerly less, and *vice versa*. Or when anything was stronger or swifter, it must have been generated from weaker and slower, &c. But Socrates is now speaking, not of the πράγματα ἐναντία, which are so produced, but the αὐτὸ τὸ ἐναντίον, the contrary itself, the contrary as an essence or intelligible form, which cannot become its own contrary, (e. gr. the ideas of the just, beautiful, and good, which, with their opposites, being severally immutable and eternal cannot be changed so as to reciprocate with each other, nor are they so dependent on each other as to be mutually produced,) neither in the concrete, οὔτε τὸ ἐν ἡμῖν, nor in the abstract, οὔτε τὸ ἐν τῇ φύσει. Socrates was then speaking of those things which contain the contraries, (τῶν ἐχόντων τὰ ἐναντία), and which are called by the name of their several inherent contrary essences; but now he is speaking of those essences, by reason of the presence of which, (i. e. which being inherent or contained, ὧν ἐνόντων,) those things which were so called received their name; and these he asserts to be such as are incapable of being mutually produced.—Οὔτε τὸ ἐν τῇ φύσει. It is to be observed that Plato did not consider these ideas as mere notions of things impressed upon the human mind; he held them, on the contrary, to be self-existent and perfectly distinct from those things which bore their name.

Οὐδ' αὖ—οὕτως ἔχω.] i. e. Οὐδ' αὖ τεταραγμένος εἰμί, in which allusion is made to c. 22. supr. sub. fin. καί τοι καρτερώτατος ἀνθρώπων ἐστὶ πρὸς τὸ ἀπιστεῖν τοῖς λόγοις. Heindorf pro-

§. 52. Ἔτι δή μοι καὶ τόδε σκέψαι, ἔφη, εἰ ἄρα ξυνομολογήσεις. θερμόν τι καλεῖς καὶ ψυχρόν; Ἔγωγε. Ἆρ' ὅ περ χιόνα καὶ πῦρ; Μὰ Δί' οὐκ ἔγωγε. Ἀλλ' ἕτερόν τι πυρὸς τὸ θερμὸν καὶ ἕτερόν τι χιόνος τὸ ψυχρόν; Ναί. Ἀλλὰ τόδε γ' οἶμαι δοκεῖ σοι, οὐδέποτε χιόνα γ' οὖσαν, δεξαμενην τὸ θερμόν, ὥς περ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἔτι ἔσεσθαι ὅ περ ἦν, χιόνα καὶ θερμόν, ἀλλὰ προσιόντος τοῦ θερμοῦ ἢ ὑπεκχωρήσειν αὐτῷ ἢ ἀπολεῖσθαι. Πάνυ γε. Καὶ τὸ πῦρ γε αὖ προσιόντος τοῦ ψυχροῦ αὐτῷ ἢ ὑπεξιέναι ἢ ἀπολεῖσθαι, οὐ μέντοι ποτὲ τολμήσειν δεξάμενον τὴν ψυχρότητα ἔτι εἶναι ὅ περ ἦν, πῦρ καὶ ψυχρόν. Ἀληθῆ, ἔφη, λέγεις. Ἔστιν ἄρ', ἦ δ' ὅς, περὶ ἔνια τῶν τοιούτων, ὥστε μὴ μόνον αὐτὸ

poses οὐκ αὖ.—Καί τοι οὔ τι λέγω,—*although I by no means deny that there are many things which perplex me.* Ficinus appears to have read καὶ τοιοῦτο τι λέγω, ὡς οὐ πολλά με ταράττει.

§. 52. Ἔτι δή μοι καὶ τόδε.] Socrates proceeds to show that not only the actual contraries themselves, *αὐτὰ τὰ ἐναντια*, could not be reciprocated but that even those things, which though not of themselves, nor strictly contraries, yet inferred some contrariety, did not admit of a form contrary to what they had, but rather on the approach of such, retired and disappeared. Thus the number three, which does not seem to have any contrary, or anything opposed to itself, yet because it always contains the idea of inequality, i. e. is always odd, it never admits of equality, i. e. never can become even. And so with fire and heat; for though the fire itself is one thing, and heat, the contrary of cold, another, yet both are so closely connected that fire cannot receive cold so as to coexist with it, but must disappear on the approach of the latter. In like manner snow, which is always connected with cold, disappears on the approach of heat, with which it obviously cannot mix. This argument with its conclusions, as applied to the soul, is made available thus: the soul, into whatever body it enters, brings with it the principle of life; but since death is contrary to life, it follows that the soul cannot receive and admit a form contrary to that with which it is of necessity joined, (as the idea of inequality is inseparaby connected with the odd number three,) and which is called life. But whatever does not admit of death, is immortal, whence it follows that the soul is imperishable and immortal.

Ἀλλ' ἕτερον τι πυρὸς τὸ θερμὸν.] The latter being the result or consequence of the former; fire being the essential principle of heat, as snow of cold.

Ἀλλὰ τόδε γ' οἶμαι δοκεῖ σοι—] i. e. *But this I think is evident to you, that snow, while it is snow, can never, having admitted heat, as we said before,* (supr. c. 50. a med.) *continue to be what it was, snow, and* (at the same time) *hot, but on the approach of heat it will either give way to it or utterly disappear.*

Ὑπεξιέναι.] Matthiæ Gr. s. 404. 1. 3. Εἶμι and its components have always a future signification in the Attic writers. Dawes, M. Crit. 82.

Ἔστιν ἄρ'—ὥστε.] *It happens, therefore, that,* &c.—Αὐτὸ τὸ εἶδος.—Here Plato appears to make the inequality, τὸ περιττὸν, the genus or εἶδος, and the number three, which contains the

τὸ εἶδος ἀξιοῦσθαι τοῦ αὐτοῦ ὀνόματος εἰς τὸν ἀεὶ χρόνον, ἀλλὰ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐκ ἐκεῖνο, ἔχει δὲ τὴν ἐκείνου μορφὴν ἀεὶ ὅταν περ ᾖ. ἔτι δ' ἐν τοῖσδε ἴσως ἔσται σαφέστερον ὃ λέγω. τὸ γὰρ περιττὸν ἀεί που δεῖ τούτου τοῦ ὀνόματος τυγχάνειν, ὅ περ νῦν λέγομεν· ἢ οὔ; Πάνυ γε. Ἆρα μόνον τῶν ὄντων, τοῦτο γὰρ ἐρωτῶ, ἢ καὶ ἄλλο τι, ὃ ἔστι μὲν οὐχ ὅ περ τὸ περιττόν, ὅμως δὲ δεῖ αὐτὸ μετὰ τοῦ ἑαυτοῦ ὀνόματος καὶ τοῦτο καλεῖν ἀεί, διὰ τὸ οὕτω πεφυκέναι ὥστε τοῦ περιττοῦ μηδέποτε ἀπολείπεσθαι; λέγω δὲ αὐτὸ εἶναι οἷον καὶ ἡ τριὰς πέπονθε καὶ ἄλλα πολλά. σκόπει δὲ περὶ τῆς τριάδος· ἆρα οὐ δοκεῖ σοι τῷ τε αὐτῆς ὀνόματι ἀεὶ προσαγορευτέα εἶναι καὶ τῷ τοῦ περιττοῦ, ὄντος οὐχ ὅ περ τῆς τριάδος; ἀλλ' ὅμως οὕτω πως πέφυκε καὶ ἡ τριὰς καὶ ἡ πεμπτὰς καὶ ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας, ὥστε οὐκ ὢν ὅ περ τὸ περιττὸν ἀεὶ ἕκαστος αὐτῶν ἐστὶ περιττός. καὶ αὖ τὰ δύο καὶ τὰ τέτταρα καὶ ἅπας ὁ ἕτερος αὖ στίχος τοῦ

inequality, the species or *μορφὴ*; from which he varies infr. c. 53., calling three, *ἰδέα*, and the inequality, *μορφήν*.

Τοῦ *αὐτοῦ ὀνόματος*.] i. e. That not only the genus itself at all times, but that something else which is not the genus, but retains its form (is its species) as long as it lasts, is always designated by the same name. For example, inequality must always be so called, but the numbers three, five, &c. which are not the same with inequality, yet, (besides their own proper and peculiar names,) as participating in and admitting inequality, are called also by the same name, unequal. That is, not only the *τὸ περιττὸν* has the name *τοῦ περιττοῦ*, but the *τριὰς, πεμπτὰς καὶ ὁ ἥμισυς τοῦ ἀριθμοῦ ἅπας*.

Μετὰ *τοῦ ἑαυτου ὀνόματος καὶ τοῦτο*.] *Along with its own name* (as *τριὰς, πεμπτὰς*, &c.) *to designate it by this*, sc. *τὸ περιττὸν*: because its nature is such as that it cannot become distinct from or independent of the idea of inequality.

Οὐχ *ὅπερ τῆς τριάδος*.] Οὐχ *οὗ περ τ. τ.* Bekk. See Matthiæ Gr. s. 473. b. Fischer considers *ὄντος οὐχ ὅπερ* as equivalent to *ἑτέρου*, as supr. *ἑτερόν τι πυρὸς τὸ θερμὸν, καὶ ἑτερὸν τι χιόνος τὸ ψυχρόν*: and *τὸ περιττὸν*, he observes, to be applied to inequality, or odd numbers, because they appear to have something superfluous, over and above what is necessary. Theo. Smyrnæus M. II. c. 5. Καὶ *ἄρτιοι μὲν εἰσιν οἱ ἐπιδεχόμενοι τὴν εἰς ἴσα διαίρεσιν, ὡς ἡ δυὰς, ἡ τετράς· περισσοὶ δὲ οἱ εἰς ἄνισα διαιρούμενοι, οἷον ὁ ε, ὁ ζ*.

Ὁ *ἥμισυς τοῦ ἀριθμοῦ ἅπας*.] *The entire half of number*: number being divided, as it were, into two equal parts, the one consisting of odd, and the other of even numbers, consequently the former formed one-half. Upon the adj. *ἥμισυς* with a substantive in the gen. see Matthiæ Gr. s. 442. 2.

Στίχος.] *Series*; the odd numbers being placed in one line, and the even in a parallel one. Cf. Plutarch, de Anim. Creat. in Tim. p. 1022. D. *ὁ γὰρ Θεό-*

ἀριθμοῦ οὐκ ὢν ὅ περ τὸ ἄρτιον, ὅμως ἕκαστος αὐτῶν ἄρτιός ἐστιν ἀεί. ξυγχωρεῖς ἢ οὔ; Πῶς γὰρ οὔκ; ἔφη. Ὁ τοίνυν, ἔφη, βούλομαι δηλῶσαι, ἄθρει. ἔστι δὲ τόδε, ὅτι φαίνεται οὐ μόνον ἐκεῖνα τὰ ἐναντία ἄλληλα οὐ δεχόμενα, ἀλλὰ καὶ ὅσα οὐκ ὄντα ἀλλήλοις ἐναντία ἔχει ἀεὶ τἀναντία, οὐδὲ ταῦτα ἔοικε δεχομένοις ἐκείνην τὴν ἰδέαν ἢ ἂν τῇ ἐν αὐτοῖς οὔσῃ ἐναντία ᾖ, ἀλλ' ἐπιούσης αὐτῆς ἤτοι ἀπολλύμενα ἢ ὑπεκχωροῦντα. ἢ οὐ φήσομεν τὰ τρία καὶ ἀπολεῖσθαι πρότερον καὶ ἄλλο ὁτιοῦν πείσεσθαι, πρὶν ὑπομεῖναι ἔτι τρία ὄντα ἄρτια γενέσθαι; Πάνυ μὲν οὖν, ἔφη ὁ Κέβης. Οὐδὲ μήν, ἦ δ' ὅς, ἐναντίον γ' ἐστὶ δυὰς τριάδι. Οὐ γὰρ οὖν. Οὐκ ἄρα μόνον τὰ εἴδη τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα ἄλληλα, ἀλλὰ καὶ ἄλλ' ἄττα τὰ ἐναντία οὐχ ὑπομένει ἐπιόντα. Ἀληθέστατα, ἔφη, λέγεις.

§. 53. Βούλει οὖν, ἦ δ' ὅς, ἐὰν οἷοί τε ὦμεν, ὁρισώμεθα ὁποῖα ταῦτ' ἐστίν; Πάνυ γε. Ἆρ' οὖν, ἔφη, ὦ Κέβης, τάδη εἴη ἄν, ἃ ὅ τι ἂν κατάσχῃ, μὴ

δωρος, οὐχ ὡς ἐκεῖνοι, δύο στίχους ποιῶν, ἀλλ' ἐπὶ μιᾶς εὐθείας ἐφεξῆς τούς τε διπλασίους ἐκτάττων καὶ τοὺς τριπλασίους.

Ὅσα οὐκ ὄντα—ἔχει ἀεὶ τἀναντία.] Socrates says that this was what he was concerned to show; not only that contraries themselves did not receive their contraries, but that also as many things, as without being mutually contrary, yet contain contraries, (three, for instance, not being the contrary of two, yet containing as an odd number the inequality τὸ περιττόν, which is the contrary of the equality τὸ ἄρτιον, contained in the even number two,) neither did these appear to receive the idea which is the contrary of that which they already contain, but on its approaching, either disappear or recede.

Ἀπολλύμενα ἢ ὑπεκχωροῦντα.] Sc. φαίνεται. Cf. supr. c. 29. οἱ ἀφικομένῃ ὑπάρχει αὐτῇ, κ. τ. λ.

Οὐδὲ μήν—ἐναντίον γ' ἐστὶ δυὰς τριάδι.] Hence it appears that the τριὰς is not to be reckoned amongst the εἴδη τὰ ἐναντία, for if it were a contrary itself, the contrary to it should be the δυάς, which is not and could not be the case.—Ἀλλὰ καὶ ἄλλ' ἄττα τὰ ἐναντία,—*but some other things also do not await the approach of those which are really contraries.* Cf. supr. c. 52. Ἔστιν ἄρ' — περὶ ἕνια τῶν τοιούτων, κ. τ. λ.

§. 53. Ἆρ' οὖν—τάδε εἴη—] *Would they then be such as to compel whatever they occupied, not only itself to retain the idea* (or form) *of itself, but always of something which is itself a contrary:* for example the τριὰς, whatever it may have occupied or become inherent in, it not only forces that to be three, but also to contain within it the notion of that which is of itself a contrary, the περιττόν. That this is the sense of the passage is evident from its subsequent explanation by Socrates; οἶσθα γὰρ δή που ὅτι ἃ ἂν ἡ τῶν τριῶν, κ. τ. λ. whence the reading of Heindorf has

μόνον ἀναγκάζει τὴν αὐτοῦ ἰδέαν αὐτὸ ἴσχειν, ἀλλὰ καὶ ἐναντίου ἀεὶ αὐτοῦ τινός; Πῶς λέγεις; Ὡς περ ἄρτι ἐλέγομεν. οἶσθα γὰρ δή που ὅτι ἃ ἂν ἡ τῶν τριῶν ἰδέα κατάσχῃ, ἀνάγκη αὐτοῖς οὐ μόνον τρισὶν εἶναι ἀλλὰ καὶ περιττοῖς; Πάνυ γε. Ἐπὶ τὸ τοιοῦτον δή, φαμέν, ἡ ἐναντία ἰδέα ἐκείνῃ τῇ μορφῇ ἥ ἂν τοῦτο ἀπεργάζηται, οὐδέποτ' ἂν ἔλθοι. Οὐ γάρ. Εἰργάζετό δέ γε ἡ περιττή; Ναί. Ἐναντία δὲ ταύτῃ ἡ τοῦ ἀρτίου; Ναί. Ἐπὶ τὰ τρία ἄρα ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει; Οὐ δῆτα. Ἄμοιρα δὴ τοῦ ἀρτίου τὰ τρία; Ἄμοιρα. Ἀνάρτιος ἄρα ἡ τριάς; Ναί. Ὃ τοίνυν ἔλεγον ὁρίσασθαι, ποῖα οὐκ ἐναντία τινὶ ὄντα ὅμως οὐ δέχεται αὐτὸ [τὸ ἐναντίον], οἷον νῦν ἡ τριὰς τῷ ἀρτίῳ οὐκ οὖσα ἐναντία οὐδέν τι μᾶλλον αὐτὸ δέχεται, τὸ γὰρ ἐναντίον αὐτῷ ἀεὶ ἐπιφέρει, καὶ ἡ δυὰς τῷ περιττῷ καὶ τὸ πῦρ τῷ ψυχρῷ καὶ ἄλλα πάμπολλα, ἀλλ' ὅρα δὴ εἰ οὕτως ὁρίζει, μὴ μόνον τὸ ἐναντίον τὸ ἐναντίον μὴ δέχεσθαι, ἀλλὰ καὶ ἐκεῖνο ὃ ἂν ἐπιφέρῃ τι ἐναντίον ἐκείνῳ ἐφ' ὅ τι ἂν αὐτὸ ἴῃ,

been selected as supr. Bekker reads *ἐναντίου ἀεὶ αὐτῶ τινός*, so likewise Stallbaum, who encloses *αὐτῶ* in brackets as dubious. Ficinus appears to have read *ἀλλὰ καὶ ἐναντίου δεῖ αὐτῷ τινος*, but none of the proposed emendations, which are not a few, afford the easy and obvious interpretation supplied by the text as it stands.

Ἐπὶ τὸ τοιοῦτον.] *To such, we say now, the idea contrary to the form which effected this, can never at all arrive:* i. e. as infr. *Ἐπὶ τὰ τρία—ἡ τοῦ ἀρτίου ἰδέα οὐδέποτε ἥξει.*—Τῇ *μορφῇ*; see supr. c. 52. *ἐκείνου μορφὴν*—Τοῦτο, sc. *τὸ περιττὸν εἶναι.*

Ἡ περιττή.] Sc. *μορφή*, i. q. *ἡ τοῦ περιττοῦ ἰδέα* s. *μορφή*. HEIND.

Ὃ τοίνυν ἔλεγον ὁρίσασθαι.] *That therefore which I proposed to determine—see now if you determine thus;* ἀλλ' *ὅρα, δὴ, εἰ οὕτως ὁρίζει, κ. τ. λ.*, the apodosis commencing with ἀλλ' *ὅρα*, which takes up the sentence interrupted by the parenthesis *οἷον νῦν ἡ τριὰς—ἄλλα πάμπολλα.*

Τὸ γὰρ ἐναντίον αὐτῷ.] Αὐτῷ sc. *τῷ ἀρτίῳ*, i. e. the *τριὰς* or ternary always brings against the even, *ἀρτίον*, its contrary, the odd, *περιττὸν*. The verb *ἐπιφέρει* supr., also *φεύγειν, ὑπεκχωρεῖν, προσιέναι, προσελθεῖν, δέξασθαι* and *ὑπομεῖναι*, which are in frequent use through the course of this argument, are obviously peculiar to military tactics.

Ἀλλὰ καὶ ἐκεῖνο.] i. e. *But that also which brings any contrary against whatever it approaches, can never at any time receive the contrary of that which is so brought;* as the *τριὰς* which brings to whatever it approaches, the *περιττὸν*, (which is of itself *ἐναντίον τι*) does not receive the *ἄρτιον* which is the contrary *τοῦ ἐπιφερομένου* sc. *τοῦ περιττοῦ*. Olympiod.—*τοῦ ἐπιφερόμενου, τοῦτ' ἔστι, του συμπεφυκότος αὐτῷ εἴδους.* Gottleber calls *τὸ ἐπιφερόμενον* the *attribute* of anything, *τὸ συμβαῖνον τῷ πράγματι.* V. Mor. ad

αὐτὸ τὸ ἐπιφέρον τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα μηδέποτε δέξασθαι. Πάλιν δὲ ἀναμιμνήσκου· οὐ γὰρ χεῖρον πολλάκις ἀκούειν. τὰ πέντε τὴν τοῦ ἀρτίου οὐ δέξεται, οὐδὲ τὰ δέκα τὴν τοῦ περιττοῦ, τὸ διπλάσιον. τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον, ὅμως δὲ τὴν τοῦ περιττοῦ οὐ δέξεται· οὐδὲ δὴ τὸ ἡμιόλιον οὐδὲ τἆλλα τὰ τοιαῦτα, τὸ ἥμισυ, τὴν τοῦ ὅλου, καὶ τριτημόριον αὖ καὶ πάντα τὰ τοιαῦτα, εἴ περ ἔπει τε καὶ ξυνδοκεῖ σοι οὕτως. Πάνυ σφόδρα καὶ ξυνδοκεῖ, ἔφη, καὶ ἕπομαι.

§. 54. Πάλιν δή μοι, ἔφη, ἐξ ἀρχῆς λέγε. καὶ μή μοι ᾧ ἂν ἐρωτῶ ἀποκρίνου, ἀλλ' ἄλλῳ, μιμούμενος ἐμέ. λέγω δὲ παρ' ἣν τὸ πρῶτον ἔλεγον ἀπόκρισιν, τὴν ἀσφαλῆ ἐκείνην, ἐκ τῶν νῦν λεγομένων ἄλλην

Longin. p. 62.

Αὐτὸ τὸ ἐπιφέρον.] This is merely a repetition of the nominative ὃ ἂν ἐπιφέρῃ τι preced.; a familiar usage with Greek and Latin writers.

Οὐ γὰρ χεῖρον.] *It would be profitable.* Cf. in Crit. c. 16. ἄμεινον εἶναι. See Matthiæ Gr. s. 457. p. 757.

Τὴν τοῦ ἀρτίου.] Sc. ἰδέαν.—Οὐδὲ τὰ δέκα—τὸ διπλάσιον, *nor ten, the double of five, &c.*—Τοῦτο μὲν οὖν καὶ αὐτὸ ἄλλῳ ἐναντίον; *this double, which is itself contrary to something else,* (than the περιττόν,) *will not nevertheless receive,* &c. i. e. the number ten not being the contrary of the genus περιττόν, but of its species, the number five, (the contrary of a double being its half, and everything having but one direct contrary,) still does not receive the περιττόν, that is, never can become an odd number, because it contains the idea of equality, which is inseparable from the doubling of numbers, as supr. So with the sesquialter or three halves, the half, and the third, which do not receive the idea of the whole, which is still not the contrary of any of them, (the contrary of half being the double, of a third the triple, &c., and the direct contrary of *whole* being *part,*) but because they include the general idea of *fraction,* which is contrary to the idea of *integer*—Οὐδὲ δὴ τὸ ἡμιόλιον [the passage being so arranged by Stallbaum, with a view to unfolding its sense,] οὐδὲ τἆλλα τὰ τοιαῦτα, τὸ ἥμισυ καὶ τριτημόριον αὖ καὶ πάντα τὰ τοιαῦτα (δέχεται) τὴν τοῦ ὅλου.

§. 54. Μὴ μοι ᾧ ἂν ἐρωτῶ—] Socrates says, do not answer me by a repetition of the word which I use in the question, but with a different one, imitating me, or following my practice. As when I ask of you whence a body becomes hot? do not say from heat, but from fire; or why a body is diseased? do not say from sickness, but from fever, &c.—Socrates wishes to be answered so as that the species of the genus, to which the subject of this inquiry belonged, should be named, not the genus itself.—STALL.

Λέγω δὲ παρ' ἣν τὸ πρῶτον.] The reason why Socrates required to be so answered was, because he saw and understood (ὁρῶν) from what was immediately then under discussion (ἐκ τῶν νῦν λεγομένων, c. 53.) that besides that answer which, as he had formerly shown, (παρ' ἣν τὸ πρῶτον ἔλεγον ἀπόκρισιν, V. c. 49. supr. διισχυρίζομαι—ὅτι τῷ καλῷ πάντα τὰ καλὰ γίγνεται καλά, κ. τ. λ.) could be justly and safely given, (τὴν ἀσφάλειαν,) there could be another given of equal

ὁρῶν ἀσφάλειαν. εἰ γὰρ ἔροιό με ᾧ ἂν τί ἐν τῷ σώματι ἐγγένηται, θερμὸν ἔσται, οὐ τὴν ἀσφαλῆ σοι ἐρῶ ἀπόκρισιν ἐκείνην τὴν ἀμαθῆ, ὅτι ᾧ ἂν θερμότης, ἀλλὰ κομψοτέραν ἐκ τῶν νῦν, ὅτι ᾧ ἂν πῦρ· οὐδὲ ἂν ἔρῃ, ᾧ ἂν σώματι τί ἐγγένηται, νοσήσει, οὐκ ἐρῶ ὅτι ᾧ ἂν νόσος, ἀλλ' ᾧ ἂν πυρετός· οὐδ' ᾧ ἂν ἀριθμῷ τί ἐγγένηται, περιττὸς ἔσται, οὐκ ἐρῶ ᾧ ἂν περιττότης ἀλλ' ᾧ ἂν μονάς, καὶ τἆλλα οὕτως. ἀλλ' ὅρα εἰ ἤδη ἱκανῶς οἶσθ' ὅ τι βούλομαι. Ἀλλὰ πάνυ ἱκανῶς, ἔφη. Ἀποκρίνου δή, ἦ δ' ὅς, ᾧ ἂν τί ἐγγένηται σώματι, ζῶν ἔσται; Ὧι ἂν ψυχή, ἔφη. Οὐκοῦν ἀεὶ τοῦτο οὕτως ἔχει; Πῶς γὰρ οὐχί; ἦ δ' ὅς. Ἡ ψυχὴ ἄρα ὅ τι ἂν αὐτὴ κατάσχῃ, ἀεὶ ἥκει ἐπ' ἐκεῖνο φέρουσα ζωήν; Ἥκει μέντοι, ἔφη. Πότερον δ' ἔστι τι ζωῇ ἐναντίον ἢ οὐδέν; Ἔστιν, ἔφη. Τί; Θάνατος. Οὐκοῦν ἡ ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει ἀεί, οὐ μή ποτε δέξηται, ὡς ἐκ τῶν πρόσθεν ὡμολόγηται; Καὶ μάλα, ἔφη, σφόδρα, ὁ Κέβης.

§. 55. Τί οὖν; τὸ μὴ δεχόμενον τὴν τοῦ ἀρτίου ἰδέαν τί νῦν δὴ ὠνομάζομεν; Ἀνάρτιον, ἔφη. Τὸ δὲ δίκαιον μὴ δεχόμενον καὶ ὃ ἂν μουσικὸν μὴ δέχηται; Ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον. Εἶεν· ὃ δ' ἂν θάνατον

certainty and truth (ἄλλην ἀσφάλειαν). Fischer.

Ὧι ἂν τι ἐν τῷ σώματι ἐγγίνηται.] Stephens proposes, ᾧ ἂν τί σώματι, or ᾧ ἂν σώματι τί, as infr. So Koehler and Gottleber. Zeunius,—τί ἂν σώματι ἐγγένηται, ᾧ θερμὸν ἔσται. Wyttenbach follows Stephens as supr. Tub. Ald. and Bass. ὃ ἂν τί ἐν τῷ σώματι, and seq. ὅτι ὃ ἂν θερμότης, and ὅτι ὃ ἂν πῦρ. Almost all the editions are at variance on this passage, from which however Heindorf, approved by Stallbaum, has made the happiest effort at an intelligible reading and obvious sense: ὅταν τί ἐν τῷ σώματι,—ὅταν θερμότης, and ὅτι ὅταν πῦρ. The remaining portion of the passage requires no emendation.

Ὅ τι βούλομαι.] *What I mean.*

Οὐκοῦν ἡ ψυχὴ τὸ ἐναντίον ᾧ αὐτὴ ἐπιφέρει.] h. e. Τὸ ἐναντίον τούτου ὃ αὐτὴ ἐπιφέρει.

§. 55. Τὸ δὲ δίκαιον — μουσικὸν.] *The just—and the graceful.* Cf. Apol. de Doctrin. Plat. i. p. 10. Elmenh. "fieretque (homo) totus ipse modulatus ac musicus." Fischer explains μουσικὸν, *modulatum, concinnum*, and consequently ἄμουσον, *immodulatum, inconcinnum.*

Ἄμουσον, ἔφη, τὸ δὲ ἄδικον.] More fully, τὸ μὲν ἄμουσον, τὸ δὲ ἄδικον: but μὲν is sometimes understood when δὲ, not preceded by it, is expressed in the latter clause or member of a sentence. So *quidem* appears to be omitted in "Libertas, quæ sera tamen respexit inertem," Virg. Eclog. i. 28; and "matura res erat, tergiversantur tamen," Liv. ii. 45. Seag. Bos', Gr. Ell. p. 234. Viger, p. 191.

μὴ δέχηται, τί καλοῦμεν; Ἀθάνατον, ἔφη. Οὐκοῦν ἡ ψυχὴ οὐ δέχεται θάνατον; Οὔ. Ἀθάνατον ἄρα ἡ ψυχή; Ἀθάνατον. Εἶεν, ἔφη· τοῦτο μὲν δὴ ἀποδεδεῖχθαι φῶμεν; ἢ πῶς δοκεῖ; Καὶ μάλα γε ἱκανῶς, ὦ Σώκρατες. Τί οὖν, ἦ δ' ὅς, ὦ Κέβης; εἰ τῷ ἀναρτίῳ ἀναγκαῖον ἦν ἀνωλέθρῳ εἶναι, ἄλλο τι τὰ τρία ἀνώλεθρα ἂν ἦν; Πῶς γὰρ οὔ; Οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις ἐπὶ χιόνα θερμὸν ἐπαγάγοι, ὑπεξῄει ἂν ἡ χιὼν οὖσα σῶς καὶ ἄτηκτος; οὐ γὰρ ἂν ἀπώλετό γε, οὐδ' αὖ ὑπομένουσα ἐδέξατ' ἂν τὴν θερμότητα. Ἀληθῆ, ἔφη, λέγεις. Ὡς δ' αὕτως, οἶμαι, κἂν εἰ τὸ ἄψυκτον ἀνώλεθρον ἦν, ὁπότε ἐπὶ τὸ πῦρ ψυχρόν τι ἐπίοι, οὔ ποτ' ἂν ἀπεσβέννυτο οὐδ' ἀπώλλυτο, ἀλλὰ σῶν ἂν ἀπελθὸν ᾤχετο. Ἀνάγκη, ἔφη. Οὐκοῦν καὶ ὧδε, ἔφη, ἀνάγκη περὶ τοῦ ἀθανάτου εἰπεῖν; εἰ μὲν τὸ ἀθάνατον καὶ ἀνώλεθρόν ἐστιν, ἀδύνατον ψυχῇ, ὅταν θάνα-

Τί καλοῦμεν.] *By what name do we call;* as supr. τί νῦν δὴ ὠνομάζομεν.

Οὐκοῦν ἡ ψυχή, κ. τ. λ.] Olympiod. Ἡ ἀπόδειξις πρόεισιν ἐκ τῶν ὑποθέσεων τοιᾶδε συλλογισμῷ. ἡ ψυχὴ ᾧ ἂν παρῇ ζωὴν τούτῳ ἐπιφέρει. πᾶν δὲ ὃ ἐπιφέρει τι, ἄδεκτόν ἐστι τοῦ ἐναντίου αὐτῷ. ἡ ψυχὴ ἄρα ἄδεκτός ἐστι τοῦ ἐναντίου ᾧ ἐπιφέρει. τὸ ἐναντίον ἐστὶν οὗ ἐπιφέρει, θάνατος. ἡ ψυχὴ ἄρα ἄδεκτος θανάτου.

Ἄλλο τι τὰ τρία.] See Apol. Socr. c. 12. init. in Criton. c. 14.

Ἄθερμον.] Aug. Tub. and Stob. τὸ θερμόν, which is obviously incorrect. Stephens omits ἄθερμον, in Thes. Gr. L., which Wyttenbach observes should rather be ἀθέρμαντον supr. Heindorf remarks, that in all probability the word has only been used by Plato, and in this passage alone: ἀνάρτιον as used for περιττόν supr. he considers almost equally rare.

Ὁπότε τις—ἐπαγάγοι—ὑπεξῄει ἄν.] Even of actions still present, the aorist is sometimes used, if, rapidly passing, they are limited to a single point of time; (Plat. Phæd. p. 106. A. Οὐκοῦν εἰ καὶ τὸ ἄθερμον ἀναγκαῖον ἦν ἀνώλεθρον εἶναι, ὁπότε τις, κ. τ. λ., as supr.) where ὑπεξῄει must be used in the sense of the aorists ἀπώλετο and ἐδέξατο seq. because the yielding of the unmelted snow can only be momentary, like the being destroyed and the reception of warmth. So in Gorg. p. 447. E. and the passages there produced by Heindorf, c. 3. p. 6. the aorist is used, not of a continued or repeated, but single act. Soph. Ant. 755. εἰ μὴ πατὴρ ἦσθ,' εἶπον ἄν (as an act) σ' οὐκ εὖ φρονεῖν. Matthiæ Gr. s. 508. c.

Εἰ μὲν τὸ ἀθάνατον, κ. τ. λ.] Ἀθάνατον is here applied to that, ὃ ἂν θάνατον μὴ δέχηται: ἀνώλεθρον to that which on the approach of its contrary οὐκ ἀπόλλυται. But they are generally used as synonyms, the one signifying *immortal*, and the other *imperishable*, so, however, as that the latter is rather more general in its acceptation than the former, death being one of the modes of corruption or decay. So Aristotle distinguishes between ἀθάνατον and ἄφθαρτον, the latter of which is

τος ἐπ᾽ αὐτὴν ἴῃ, ἀπόλλυσθαι· θάνατον μὲν γὰρ δὴ ἐκ τῶν προειρημένων οὐ δέξεται οὐδ᾽ ἔσται τεθνηκυῖα, ὥς περ τὰ τρία οὐκ ἔσται, ἔφαμεν, ἄρτιον, οὐδέ γ᾽ αὖ τὸ περιττόν, οὐδὲ δὴ τὸ πῦρ ψυχρόν, οὐδέ γε ἡ ἐν τῷ πυρὶ θερμότης. Ἀλλὰ τί κωλύει, φαίη ἄν τις, ἄρτιον μὲν τὸ περιττὸν μὴ γίγνεσθαι ἐπιόντος τοῦ ἀρτίου, ὥς περ ὡμολόγηται, ἀπολλυμένου δὲ αὐτοῦ ἀντ᾽ ἐκείνου ἄρτιον γεγονέναι; τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοιμεν διαμάχεσθαι ὅτι οὐκ ἀπόλλυται· τὸ γὰρ ἀνάρτιον οὐκ ἀνώλεθρόν ἐστιν, ἐπεὶ εἰ τοῦτο ὡμολόγητο ἡμῖν, ῥᾳδίως ἂν διεμαχόμεθα ὅτι ἐπελθόντος τοῦ ἀρτίου τὸ περιττὸν καὶ τὰ τρία οἴχεται ἀπιόντα· καὶ περὶ πυρὸς καὶ θερμοῦ καὶ τῶν ἄλλων οὕτως ἂν διεμαχόμεθα. ἦ οὔ; Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ νῦν περὶ τοῦ ἀθανάτου, εἰ μὲν ἡμῖν ὁμολογεῖται καὶ ἀνώλεθρον εἶναι, ψυχὴ ἂν εἴη πρὸς τῷ ἀθάνατος εἶναι καὶ ἀνώλεθρος· εἰ δὲ μή, ἄλλου ἂν δέοι λόγου. Ἀλλ᾽ οὐδὲν δεῖ, ἔφη, τούτου γε ἕνεκα· σχολῇ γὰρ ἄν τι

equivalent to *ἀνώλεθρον* supr. Topic. vi. p. 694. edit. Pac. t. i. p. 376. ed. Sylb. The argument as supr., is thus summed up by Albinus, Doctr. Plat. c. xxv. p. 370. *Τὴν δὲ ψυχὴν ἀθάνατον ἀποφαίνει τοῦτον ἐπιὼν τὸν τρόπον· ἡ ψυχὴ ὅτῳ ἂν προσγένηται ἐπιφέρει τούτῳ τὸ ζῆν, ὡς σύμφυτον ὑπάρχον ἑαυτῇ· τὸ δὲ ἐπιφέρον τινὶ τὸ ζῆν, ἀνεπίδεκτόν ἐστι θανάτου· τὸ δὲ τοιοῦτον, ἀθάνατον· εἰ δὲ ἀθάνατον ἡ ψυχή, καὶ ἀνώλεθρον ἂν εἴη· ἀσώματος γάρ ἐστιν οὐσία, ἀμετάβλητος κατὰ τὴν ὑπόστασιν καὶ νοητή, καὶ ἀειδὴς καὶ μονοειδής· οὐκοῦν ἀσύνθετος, ἀδιάλυτος, ἀσκέδαστος.*

Ἀλλά τί κωλύει.] But, says an objector, what is there to prevent this,—granting that the odd cannot become the even on the accession of the even, as had been already conceded—that on the annihilation of the odd (*ἀπολλυμένου δὲ αὐτοῦ*) the even should succeed in its stead (*ἀντ᾽ ἐκείνου*)? That is, that the soul, while it is a soul, cannot receive death, but on the approach of death it ceases to be what it is. To this Socrates says, that he cannot make any answer on the grounds of the odd being imperishable, since its not being so did not interfere with the main of the argument which regarded the *ἀθάνατον*. If, however, it were conceded to be so, he might easily contend for the disappearance merely (that being one of the alternatives mentioned supr. c. 50. sub. fin., *ἢ φεύγειν—ἢ ἀπολωλέναι.*) of the odd and its species, three; and so with fire, heat, &c. Therefore with regard to the immortal, if it was agreed that it was also imperishable, the soul then, in addition to its being immortal, (*πρὸς τῷ ἀθάνατος εἶναι,*) should be incorruptible likewise. But if this was not agreed to, some other argument would be required in proof, for which, however, there was no necessity, since nothing could be imperishable if that which was immortal and eternal in its nature should yet be subject to decay.

Διαμάχεσθαι.] *To contend with, to argue against.*

Τούτου γε ἕνεκα.] *As far as regards this.*

ἄλλο φθορὰν μὴ δέχοιτο, εἰ τό γε ἀθάνατον καὶ ἀίδιον φθορὰν δέξεται.

§. 56. Ὁ δέ γε θεός, οἶμαι, ἔφη ὁ Σωκράτης, καὶ αὐτὸ τὸ τῆς ζωῆς εἶδος καὶ εἴ τι ἄλλο ἀθάνατόν ἐστι, παρὰ πάντων ἂν ὁμολογηθείη μηδέποτε ἀπόλλυσθαι. Παρὰ πάντων μέντοι νὴ Δί', ἔφη, ἀνθρώπων τε καὶ ἔτι μᾶλλον, ὡς ἐγῷμαι, παρὰ θεῶν. Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιάφθορόν ἐστιν, ἄλλο τι ψυχή, εἰ ἀθάνατος τυγχάνει οὖσα, καὶ ἀνώλεθρος ἂν εἴη; Πολλὴ ἀνάγκη. Ἐπιόντος ἄρα θανάτου ἐπὶ τὸν ἄνθρωπον τὸ μὲν θνητόν, ὡς ἔοικεν, αὐτοῦ ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶν καὶ ἀδιάφθορον οἴχεται ἀπιόν, ὑπεκχωρῆσαν τῷ θανάτῳ. Φαίνεται. Παντὸς μᾶλλον ἄρα, ἔφη, ὦ Κέβης, ψυχὴ ἀθάνατον καὶ ἀνώλεθρον, καὶ τῷ ὄντι ἔσονται ἡμῶν αἱ ψυχαὶ ἐν Ἅιδου. Οὔκουν ἔγωγε, ὦ Σώκρατες, ἔφη, ἔχω παρὰ ταῦτα ἄλλο τι λέγειν οὐδέ πῃ ἀπιστεῖν τοῖς λόγοις. ἀλλ' εἰ δή τι Σιμμίας ὅδε ἢ τις ἄλλος ἔχει λέγειν, εὖ ἔχει μὴ κατασιγῆσαι, ὡς οὐκ οἶδα εἰς ὅν τιν' ἄν τις ἄλλον καιρὸν ἀναβάλλοιτο ἢ τὸν νῦν παρόντα, περὶ τῶν τοιούτων βουλόμενος ἤ τι εἰπεῖν ἢ ἀκοῦσαι Ἀλλὰ μήν, ἦ δ' ὃς ὁ Σιμμίας, οὐδ' αὐτὸς ἔχω ἔτι ὅπῃ ἀπιστῶ ἔκ γε τῶν λεγομένων· ὑπὸ μέντοι τοῦ μεγέθους περὶ ὧν οἱ λόγοι εἰσί, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἀτιμάζων, ἀναγκάζομαι ἀπιστίαν ἔτι ἔχειν παρ' ἐμαυτῷ περὶ τῶν εἰρημένων. Οὐ μόνον γ', ἔφη,

§. 56. Τὸ τῆς ζωῆς εἶδος.] Sc. ἡ ζωὴ αὐτή.

Παντὸς μᾶλλον.] *Unquestionably, beyond all doubt.*

Ἀλλὰ μήν ἦ δ' ὃς, κ. τ. λ.] Simmias acknowledges that the importance and greatness of the subject, being such as almost to overpower the natural weakness of man, occasion the uncertainty and distrust with which the doctrine of the immortality of the soul is received. Consequently, he advises his friends to return again and again to the principles at first laid down, from the minute, patient, and unprejudiced investigation of which, if they appear at all worthy of credit, the admission of the doctrine will naturally follow as an obvious and undeniable truth.

Τὴν ἀνθρωπίνην ἀσθένειαν ἀτιμάζων.] *Disparaging human infirmity;—humanam imbecillitatem tantæ rationum magnitudini perspiciendæ imparem existimans.* WYTT.

Οὐ μόνον γ' ἔφη—ἀλλὰ ταῦτα τε.] After *οὐ μόνον* supply *ἀπιστίαν σε δεῖ*

ὦ Σιμμία, ὁ Σωκράτης, ἀλλὰ ταῦτά τε εὖ λέγεις, καὶ τὰς ὑποθέσεις τὰς πρώτας, καὶ εἰ πισταὶ ὑμῖν εἰσίν, ὅμως ἐπισκεπτέαι σαφέστερον· καὶ ἐὰν αὐτὰς ἱκανῶς διέλητε, ὡς ἐγῷμαι, ἀκολουθήσετε τῷ λόγῳ, καθ' ὅσον δυνατὸν μάλιστα ἀνθρώπῳ ἑπακολουθῆσαι· κἂν τοῦτο αὐτὸ σαφὲς γένηται, οὐδὲν ζητήσετε περαιτέρω. Ἀληθῆ, ἔφη, λέγεις.

§. 57. Ἀλλὰ τόδε γ', ἔφη, ὦ ἄνδρες, δίκαιον διανοηθῆναι, ὅτι εἴ περ ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἐπιμελείας δὴ δεῖται οὐχ ὑπὲρ τοῦ χρόνου τούτου μόνον ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός, καὶ ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμελήσει. Εἰ μὲν γὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὐτῶν κακίας μετὰ τῆς ψυχῆς· νῦν δὲ ἐπειδὴ ἀθάνατος φαίνεται οὖσα, οὐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν οὐδὲ σωτηρία πλὴν τοῦ ὡς βελτίστην τε καὶ φρονιμωτάτην γενέσθαι. οὐδὲν γὰρ ἄλλο ἔχουσα εἰς Ἅιδου ἡ ψυχὴ ἔρχεται πλὴν τῆς παιδείας τε καὶ τροφῆς, ἃ δὴ

ἔχειν περὶ τῶν εἰρημένων. Cf. in Menon. p. 71. B. ταῦτα περὶ σοῦ καὶ οἵκαδε ἀπαγγέλωμεν. ΣΩΚΡ. Μὴ μόνον γε, ὦ ἑταῖρε, ἀλλὰ καὶ ὅτι οὐδ' ἄλλῳ πω ἐνέτυχον εἰδότι. de Legg. vi. p. 752. A. ΚΛ. Ἄριστ' εἰρηκας ὦ ξένε. ΑΘ. Οὐ μόνον γε, ἀλλὰ καὶ δράσω κατὰ δύναμιν οὕτω.

Καὶ εἰ πισταὶ—ὅμως ἐπισκεπτέαι.] See Matthiæ Gr. s. 447. 3. *b.*

§. 57. Οὐχ ὑπὲρ τοῦ χρόνου τούτου, κ. τ. λ.] i. e. *Not for the sake of this period only, during which that is which we call life;* ἐν ᾧ καλοῦμεν τὸ ζῆν being equivalent to ἐν ᾧ τὸ καλούμενον ζῆν ἐστι. Cf. Hom. Iliad. λ'. 757. καὶ Ἀλεισίον ἔνθα κολώνη Κίκληται. Soph. Trach. 648. Ἔνθ' Ἑλλάνων ἀγοραὶ Πυλάτιδες καλέονται. Matthiæ Gr. s. 472. 4. *Obs.*

Εἴ τις αὐτῆς ἀμελήσει.] Εἰ is not unfrequently accompanied by the future indic., when the opt. with ἄν follows in the apodosis. Matthiæ Gr. s. 524. Obs 2. 1.

Ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή.] *If death were a deliverance from every thing;* the soul perishing along with the body. The theme of ἀπαλλαγή is ἀπαλλάττεσθαι pass. or mid. not ἀπαλλάττειν.—Ἕρμαιον, Tim. Plat. Lex. εὕρεμα· ἀπὸ τοῦ ἐν ἕθει λέγομένου, Κοινὸς Ἑρμῆς. Schol. interpr. τὸ ἀπροσδόκητον κέρδος· ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσι. ταύτας δὲ τῷ Ἑρμῇ ἀφιεροῦσιν ὡς ὄντι καὶ τούτῳ ἐνὶ τῶν ἐνοδίων θεῶν.

Τῆς παιδείας τε καὶ τροφῆς.] Τροφὴ and παιδεία are frequently so joined, and indifferently used for each other; but where there is any distinction intended, the former is applied to the soul, the latter to the body, and τροφὴ is then used metaphorically of that knowledge by which, as its proper nu-

καὶ λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα εὐθὺς ἐν ἀρχῇ τῆς ἐκεῖσε πορείας. λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαί-

triment, the soul is sustained. To these two is added ἀγωγή, *education* or *discipline*.

Λέγεται δὲ οὕτως.] Having fully established the doctrine of the immortality of the soul, Socrates proceeds in the second part of the dialogue to the consideration of its future state, as an imperishable and incorruptible essence.—This subject is discussed also in the Gorgias, p. 512. sqq. de Repub. x. p. 614. ed. Steph. which may be advantageously compared with the above, as also in Phædr. c. 56. where the condition of the soul is described previous to its descent into the body. Upon this important portion of the heathen mythology it is to be observed, that Socrates is not made to express himself as convinced of the absolute truth and certainty of the things he describes. Plato, as Stallbaum justly remarks, in his frequent references to mythics, does not appear to have introduced them for ornament merely, although the 'poet of philosophers' was by no means unmindful of this, but it would seem that he had some more useful and graver object in view. For in his discussion of such subjects he generally makes it to be understood, that there is more room for doubt and conjecture than valid argument and conclusive reasoning: to accomplish which, he so uses, for the most part, the popular fables and traditions of Greece, as that he not only alters or rejects what is unsuited to his purpose, but at the same time makes an effort to reform and remove the superstitions of his countrymen, which is his evident design throughout. It is equally evident that he was also desirous to emancipate the minds and judgments of his friends from the thraldom of a blind and absurd belief, and lead them, by a requisite preparation, to comprehend and partake of the benefits resulting from a purer and more exalted wisdom. The sum of the arguments advanced by Plato on the subject of a future state is simply this; that the good are happy and the evil miserable; that the happiness of the former consists in virtue and truth, and the misery of the latter, in the contrary of both; but for the probability of his own, or the speculations of others upon what this happiness or misery is to be in quality or degree, he does not by any means contend, nor dilate upon with any other view than that already ascribed. Cf. V. Cousin, Œuvr. de Plat. i. 177.—"Vient ensuite la seconde partie avec le cortége de croyances populaires et mythologiques sur la destineé et l'état ultérieur de ce principe immortel, transporté hors des conditions de son existence actuelle. La première partie était un discussion entre philosophes; la seconde est un hymne, un fragment d'épopeé; c'est, en quelque sorte, un accompagnement doux et gracieux, destiné à relever l'effet des démonstrations précédentes, et à charmer le cœur et l'imagination, après que l'intelligence est satisfaite.

"La philosophie démontre qu'il y a dans l'homme un principe qui ne peut perir. Mais que ce principe reparaisse dans un autre monde avec le même ordre de facultés et les mêmes lois qu'il avait dans celui-ci; qu'il y porte les conséquences des bonnes et des mauvaises actions qu'il a pu commettre: que l'homme vertueux y converse avec l'homme vertueux, qui le méchant y souffre avec le méchant, c'est la une probabilité sublime qui échappe peut-être à la rigueur de la démonstration, mais qu' autorisent et consacrent et le vœu secret du cœur, et l'assentiment universel des peuples. Elles ne sont pas d'hier, elles ne s'éteindront pas demain, ces naïves et nobles croyances qu'un indestructible besoin produit, répand, perpétue parmi les hommes, comme un heritage sacré; et, en vérité, ce serait une philosophie bien hautaine que celle qui défendrait au sage, à l'heure suprême, d'invoquer ces traditions vénérables, et d'essayer de s'enchanter lui-même de la foi de ses semblables et des esperances du genre humain. Ce n'est pas là du moins la philosophie de Socrate. Trop éclairé pour accepter sans reserve les allegories populaires qu'il raconte à ses

μων, ὅς περ ζῶντα εἰλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἱ δεῖ τοὺς ξυλλεγέντας διαδικασαμέ-

amis, il est trop indulgent aussi pour les repousser avec rigueur ; et l'on voit tout au plus errer sur le lèvres du bon et spirituel vieillard ce demi-sourire qui trahit le scepticisme sans montrer le dédain."

To this part of the dialogue Olympiodorus gives the name Νεκυία, which is likewise applied to the similar passages in the Gorgias and de Repub., and by the ancients to the eleventh Odyssey, which being occupied with a like subject was called by the ancients Νεκυία or Νεκυομαντεία. Socrates now proceeds to say that every soul has its own genius for its guide, which conducts it after death to the lower regions; a wise and well-informed soul pursuant to its own desire, but a vicious and foolish soul, and devoted to the body, against its will. Having been so conducted to a particular place, they are there tried, and those who lived moderately well suffer such punishment for their misdeeds as may tend to their being cleansed, and restored to virtue, at the same time that they receive the reward of their good actions. Those, however, who have committed greater, but yet excusable crimes, such as homicides, or those who ill-treat their parents, are afflicted with severer penalties, from which they are not discharged until they have made the requisite atonement to the objects of their injustice.— But those who have committed unpardonable and irremediable offences, by many and gross acts of oppression and violence, are plunged into Tartarus, to abide there for ever. Finally, those who have led a blameless and an upright life, and especially those who have studied philosophy intently and effectually, are exalted into the upper regions, whence they return no more. This abode of the blessed is on the earth itself, but in a lofty and celestial quarter; for what is water with us is air with them, and our air is their æther: all things are purer, brighter, and more subtle there; endued with more acute perceptions, they enjoy a more vigorous intelligence, and a nearer intimacy with the gods. While we, as fishes in the depths of the sea, so live in the lower air, whence few ascend into the more ætherial space; all things with us are coarse and earthly, our perceptions dull, intelligence slow, nothing really and sincerely good.

Throughout this discussion, though *the mind* and *the soul* appear to have been used as synonyms, yet there is a dictinction to be observed between them. The soul is that whole, whatever it is in us which thinks, feels, acts, desires, is conscious to itself of itself and all things else. It is called by the Greeks ψυχή, and is attributed to all animals (ζώοις). But these are either rational (λογικά), or irrational (ἄλογα, i. e. brutes); of rational beings there are four classes, gods, dæmons, heroes, and men. Platonists divide the soul into three parts or faculties ; two irrational, ἐπιθυμίαν, and θυμόν, the affections and passions, and the third rational, λόγον, reason, which, if it is regarded not as a faculty of the soul, but as a part, and that, too, the most excellent and influential, is called νοῦς, the mind. This part, then, which is mainly concerned in the question of immortality, is generally implied by the term *mind*, the whole is designated as the *soul*. Cf. Tennemann, Man. Philos. s. 134. Plato considered the soul to be a self-acting energy, (αὐτὸ ἑαυτὸ κινοῦν, de Leg. x. p. 88. sqq.,) and viewed as combined with the body, he distinguished in it two parts, the rational (λογιστικὸν, νοῦς) ; and the irrational or animal (ἀλογιστικὸν or ἐπιθυμητικόν) : mutually connected by a sort of middle term (θυμὸς or τὸ θυμοειδές, de Rep. iv. 349. ed. Steph.) The animal part has its origin in the imprisonment of the soul in the body; the intellectual still retains a consciousness of the *ideas :* whereby it is capable of returning to the happy condition of spirits.

Ὁ ἑκάστου δαίμων.] i. e. The dæmon or genius which was appointed as the guide and associate of every human being during life. Whether every individual had his own peculiar dæmon, or that one dæmon took charge of a greater number of individuals, the learned are not agreed, nor does it appear that Plato himself thought proper to decide.

·νους εἰς Ἅιδου πορεύεσθαι μετὰ ἡγεμόνος ἐκείνου ᾧ δὴ προστέτακται τοὺς ἐνθένδε ἐκεῖσε πορεῦσαι. τυ-

Τούτους δὲ πάντας ὑπὸ γῆν.] i. e. But all these places have a subterranean communication, by frequent and mutual perforations, some more narrow and others broader. They have conduits also, by which means great quantities of water flow from one place to another, as into craters. There are also perennial rivers of inconceivable magnitude under the earth, both with warm and cold waters; there are vast rivers of fire too, and many of liquid mud, some thinner and some more miry; like the streams of mud which precede the burning torrent of lava in Sicily, and the torrent of lava itself; with which those places severally are filled, to whichever each time the overflow may chance to come.

Κατὰ στενώτερα.] Vulg. στενότερα. Heindorf suggests the Ionic form στεινότερα. Herod. ii. 8. Cf. Schol. ad Xenoph. Anab. iii. 4. 19. in marg. Cod. Guelf. στενώτερον κοινῶς. στεινότερον κατὰ τὸν κανόνα τὸν καθόλου γραπτέον· ἀναλόγως καὶ τὸ ξεινότερον καὶ ξενώτερον. Etym. M. p. 275. τὰ διά τοῦ—οτερος καὶ—οτατος.—εἰ μὲν ἔχει τὴν πρὸ αὐτοῦ συλλαβὴν μακράν, διὰ τοῦ ο μικροῦ γράφεται—εἰ δὲ βραχεῖαν διὰ τοῦ ω μεγάλου, οἷον νεώτερος, σοφώτερος· πλὴν τοῦ στενότατος καὶ κενότατος, ἅπερ φησὶν ἀπὸ τοῦ στεῖνος καὶ κεῖνος γεγονέναι.

εἰς ἀλλήλους ὥς περ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν, πολὺ δὲ πῦρ καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου, ὥς περ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ· ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὧν ἂν ἑκάστοις τύχῃ ἑκάστοτε ἡ περιῤῥοὴ γιγνομένη. ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥς περ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά. ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὂν καὶ διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, τοῦτο ὅ περ Ὅμηρος εἶπε, λέγων αὐτὸ

Κρατῆρας.] V. Wesseling, ad Diodor. v. 4. where Ceres is said to have lighted the torches with which she continued to search by night for Proserpine, *ἐκ τῶν κατὰ τὴν Αἴτνην κρατήρων*, i. e. from the fires which burst from the summit of Ætna. Cf. Lucret. vi. 701. "Nunc tamen, illa modis quibus inritata repente Flamma foras vastis Ætnæ fornacibus effiet, Expediam .... In summo sunt ventigeni Crateres, ut ipsi Nominitant, nos quos fauceis perhibemus et ora."

Πηλοῦ ῥέοντες ποταμοί.] Strabo, vi. p. 413. B. *τακείσης ἐν τοῖς κρατῆρσι τῆς πέτρας, εἶτ' ἀναβληθείσης τὸ ὑπερχυθὲν τῆς κορυφῆς ὑγρὸν πηλός ἐστι μίλας, ῥέων κατὰ τῆς ὀρεινῆς· εἶτα πῆξιν λαβὼν γίνεται λίθος μυλίας τὴν αὐτὴν φυλάττων χρόαν ἣν ῥέων εἶχεν*, &c.

Ὁ ῥύαξ.] So the stream of burning lava, from the craters of Ætna, was properly called; Diod. S. xiv. 59. *ἐφθαρμένων τῶν παρὰ τὴν θάλατταν τόπων ὑπὸ τοῦ καλουμένου ῥύακος, ἀναγκαῖον ἦν τὸ πεζὸν στρατόπεδον περιπορεύεσθαι τὸν τῆς Αἴτνης λόφον.* Thucyd. iii. 116. *Ἐῤῥύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης.*

Ὡς περ αἰώραν τινά.] Olympiod. Cod. i. p. 162. *Ὅτι τῆς τῶν ὑπογείων ῥευμάτων ἀντιθέσεως αἰτίαν εἶναι φησι τὴν αἰώραν, ἥ ἐστιν ἀντιταλάντωσις· καὶ πρὸ αὐτῆς ἡ ψυχὴ ζῶον ποιοῦσα τὴν γῆν, εἰσπνέον καὶ ἐκπνέον· καὶ ὅτι* (f. *ἔτι*) *πρὸ ταύτης ἡ δαιμονία καὶ θεῖα αἰτία*: where *αἰώρα* is correctly explained by *ἀντιταλάντωσις*, a reciprocal preponderance of the bowls of a balance when set in motion, in which there are equal weights. So this *αἰώρα*, or *libratio* which existed in the earth, caused a perpetual efflux and influx of those rivers, according to the elevation and depression of the places themselves. *Αἰώρα*, in gymnastics, is applied to an exercise familiar to early life; two boys, one at either end of a beam whose centre rests on a log, reciprocally rising and falling, are said *ἀντιταλαντεύειν*, i. q. *αἰωρεῖν*. See infr. *αἰωρεῖται καὶ κυμαίνει ἄνω καὶ κάτω*. Ficinus, Scap. Lex., and others, explain *αἰώρα* by *vas pensile*, which is wholly inconsistent with the sense and tenor of the passage. *Ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα*,—i. e. that this *αἰώρα* is owing to a certain innate property in the earth. One of the chasms or *ἔγκοιλα* in the earth is far larger than the rest, called by Homer and other poets Tartarus; into this all the rivers already mentioned are emptied, and from this they are again discharged to their respective beds and currents; hence the *αἰώρα*, which some interpreters removing the stop after *τινά*, explain as if it was itself *ἕν τι τῶν χασμάτων*, &c. which is utterly inadmissible as far as regards both meaning and grammar.

Ὅ περ Ὅμηρος.] Iliad. θ'. 13. See notes to Pope's Homer, Iliad. θ'. Odyss. λ'. and ω.

τῆλε μάλ', ᾗχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον· ὅ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. εἰς γὰρ τοῦτο τὸ χάσμα συῤῥέουσί τε πάντες οἱ ποταμοὶ καὶ ἐκ τούτου πάλιν ἐκρέουσι· γίγνονται δὲ ἕκαστοι τοιοῦτοι δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. Ἡ δ' αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω καὶ κάτω, καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸ ταυτὸν ποιεῖ· ξυνέπεται γὰρ αὐτῷ καὶ ὅταν εἰς τὸ ἐπ' ἐκεῖνα τῆς γῆς ὁρμήσῃ καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε, καὶ ὥς περ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ τὸ πνεῦμα δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται καὶ εἰσιὸν καὶ ἐξιόν. ὅταν τε οὖν ὁρμῆσαν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τό-

βάθιστον——βέρεθρον.] Cf. Virg. Æneid. vi. 577. "— tum Tartarus ipse Bis patet in præceps tantum, tenditque sub umbras, Quantus ad ætherium cæli suspectus Olympum." Hesiod. Theogon. 720. Τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης. Paradise Lost, B. 1. "Regions of sorrow, doleful shades, where peace And rest can never dwell; hope never comes That comes to all; but torture without end Still urges, and a fiery deluge fed With ever-burning sulphur unconsum'd: Such place eternal Justice had prepared For those rebellious: here their prison ordained In utter darkness, and their portion set As far removed from God and light of Heaven, As from the centre thrice to the utmost pole."— Βέρεθρον, Hesych. interpr. βαθος, βάραθρον, κατώτατον, ἔσχατον, ἢ πηλώδης τόπος, ἢ κοίλωμα καταχθόνιον.

Ἄλλοι πολλοι των ποιητων.] Hesiod. loc. cit. Æschyl. Prom. 154. Eurip. Hippol. 1290.

Εἰς γὰρ τοῦτο.] These words are to be referred to ἕν τι—τετρημένον δι' ὅλης τῆς γῆς, supr. of which they explain the cause, whence γὰρ. τ. τ. χ.

Τοιοῦτοι δι οἵας ἂν κ.] h. e. οἵα ἐστὶν ἡ γῆ, δι' ἧς ἂν ῥιώσιν.

Πυθμένα οὐχ ἔχει οὐδὲ βάσιν—.] *Hic liquor nec fundum nec fundamentum habet.* Wyττ.—Αἰωρεῖται δὴ καὶ κυμαίνει, *rolls* or *librates, and fluctuates up and down*; ἄνω and κάτω are not to be understood of two places only, but of all the parts of this earth which are diametrically opposed. It is to be observed that the cause of this motion in this liquid body is its being equally attracted on all sides towards its own centre, as in the case of the earth, supr. c. 58.

Τὸ πνεῦμα τὸ περὶ αὐτὸ.] Olympiod. Ὅτι ὄντος πυρὸς ἐν μέσῳ τῆς γῆς, καὶ ὕδατος καὶ ἀέρος, εἰκότως γίνεται πολυ πνεῦμα ἐκεῖ. τοῦ μὲν πυρὸς ἐξατμιδοῦντος τὸ ὕδωρ (*turning the water into vapour*), τὸ δὲ ὕδατος εἰς πνεῦμα ἀναλομένου.—Περὶ αὐτὸ, sc. τὸ ὑγρόν.

Ὅταν τε οὖν ὁρμῆσαν—ἐκπαντλοῦντες.] *When, therefore, the water rushing with violence, descends into that place which is called* κάτω, *the region underneath,* (—καλούμενον is added because in reality neither ἄνω nor κάτω can be applied to the earth, except relatively, according to the different situations of its inhabitants), *then* (τότε) *having passed through the earth* (διὰ τῆς γῆς) *it flows*

που τὸν δὴ κάτω καλούμενον, τότε κατ' ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ αὐτὰ ὥς περ οἱ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, δεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις, τὰ δὲ πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα εἰς οὓς ἑκάστους ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ. Ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει, τὰ μὲν πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς. καὶ ἔνια

into the beds of the rivers (τὰ ῥεύματα) *there* (κατ' ἐκεῖνα), *and fills them up in the manner of those who pump up the water from the hold of a ship.* This is suggested as a feasible interpretation of a passage involved in some perplexity. It is to be observed, that *τότε κατ' ἐκ.* has been adopted supr. after Zeunius and Wyttenbach, as corresponding to *ὅταν* preced., for *τοῖς κατ' ἐκ.* the reading of Bekker and Heindorf, who arranges the passage in explan. *τὰ ῥεύματα εἰσρεῖ διὰ τῆς γῆς τοῖς κατ' ἐκεῖνα καὶ πληροῖ αὐτὰ*, in which, however, he admits, "duriusculum esse *ἐκεῖνα* sejungere a seq. *τὰ ῥεύματα*, durum itidem, *εἰσρεῖν* ad dativum *τοῖς κατ' ἐκεῖνα* trahere; sed aliter tamen non constare sensus." The latter and more serious difficulty is obviated by *τότε*; but with regard to the former it is absolutely necessary to the sense that *κατ' ἐκεῖνα* should have the force of *ἐκεῖ*, as being opposed to *ἐνθάδε* infr. Further, as *κάτω* is but a relative term, the water may be said, when it has reached the opposite surface, to have emerged, *ἄνω, διὰ τῆς γῆς*, and to have spread itself not through the rivers, (as Wyttenbach explains *τὰ ῥεύματα, in flumina*, and again, *ὡς περ οἱ ἐπαντλοῦντες, ut apud nos faciunt hi, qui aquam antlia haurientes eam alteri aquæ affundunt;*) but through the beds of the rivers, which became empty again on the return or ascent of the waters to us here, *ἐνθάδε*, who dwell in some one of the, relatively speaking, superior *ἔγκοιλα τῆς γῆς*. So V. Cousin;—*vers des lits de fleuves.* The sense in which *ἐπαντλοῦντες* is taken supr. *clearing a ship's sink by pumping*, evidently accords both with *κυμαίνει ἄνω καὶ κάτω* supr. and *ἡ ἐπαντλεῖτο* infr. It agrees also with the interpretation of Schleiermacher and Schneider V. *Ἀντλία*. V. Cousin in loc. "Tous les traducteurs: *Comme quand on verse de l'eau qu'on a puisée*, ou quelque chose d' équivalent, à l'exception de Dacier: *comme quand on puise de l'eau avec deux seaux*, interprétation arbitraire et ridicule. Quant à la première, elle est tout-à-fait insignifiante et indigne de Platon. Il faut qu'il ait voulu indiquer quelque mécanisme particulier dont on se servait de son temps pour vider les vaisseaux, et par lequel on mettait l'eau en movement dans une autre direction que celle de la pesanteur. Nous n'avons que le mot pompe pour exprimer cela."

Τὰ ἐνθάδε.] Intell. *ῥεύματα.*—Διὰ τῶν ὀχετῶν, *through the channels.*—Εἰς οὓς ἑκάστους, *into which severally they make their way.*

Πολὺ κατωτέρω ἢ ἐπηντλεῖτο.] *Far deeper down than they were drawn up;* referring to οἱ ἐπαντλοῦντες supr., and so obviously as to preclude the emendation of Heindorf, ἐξηντλεῖτο. See upon this construction ἢ ἐπην τ. Matthiæ Gr. s. 450. *Obs.* 2. Wyttenbach explains it more fully *κατωτ. ἢ ᾗ ἐπ. inferius quam ubi, &c.*, but he is certainly wrong in giving *adfundebatur* as the sense of *ἐπηντλεῖτο.*

Πάντα δὲ ὑποκάτω—τῆς ἐκροῆς.] *But all below* or *lower than their efflux,*

μὲν καταντικρὺ ᾗ εἰσρεῖ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ καὶ ἃ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα· περὶ τὴν γῆν ὥς περ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα πάλιν ἐμβάλλει. δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ· ἄναντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος.

than the place of their discharge: τῆς ἐκροῆς being the same as ἡ ἐπηντλεῖτο preced. Socrates meaning to say that these waters, upon their return to Tartarus, issued out again, some deeper, others less so, but all in some degree below the point at which they were discharged.

Καταντικρὺ ᾗ εἰσρεῖ.] i. e. καταντικρὺ τῆς εἰσροῆς. Matthiæ Gr. p. 749. note *d.* s. 481. Obs. 2. V. Cousin in loc. "Aristotle, en refutant cette théorie de Platon, parait avoir entendu par le mot καταντικρὺ une opposition de lieux par rapport au centre de la terre: πάντα δὲ κύκλῳ περιάγειν εἰς τὴν ἀρχήν.... πολλὰ μὲν καὶ κατὰ τὸν αὐτὸν τόπον, τὰ δὲ καὶ καταντικρὺ τῇ θέσει τῆς ἐκροῆς, οἷον, εἰ ῥεῖν ἤρξατο κάτωθεν, ἄνωθεν εἰσβάλλειν. (Meteor. ii. 2.) Et Olympiodore, son commentateur, interprète ce passage dans le même sens. Cette idée ne peut se concevoir qu'en supposant que la figure de l'abîme du Tartare soit circulaire autour du centre de la terre, ce qui est contraire à ce que dit Platon, que le grand abîme est διαμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, paroles qu'on ne peut guères adapter à une figure circulaire, car alors il n'y devrait plus de terre, et tout serait abime. Il faut donc que l'abîme soit plus long que large; mais alors deux points de son contour, pour être à l'opposite l'un de l'autre, ne sont pas pour cela l'un en bas et l'autre en haut, comme le veut Aristotle. L'hypothèse de la figure longitudinale de l'abîme me parait encore confirmée par les expressions δυνατὸν δ' ἐστὶν ἑκατέρωσε .... τὸ ἑκατέρωθεν μέρος .... ἀμφοτέροις τοῖς ῥεύμασι, qui indiquent évidemment une opposition des points, sur la direction d'une seule et même ligne, et non sur une infinité des lignes différentes, ce qui devrait résulter de la figure circulaire, qui a une infinité de diamètres."

Περιελιχθ. περὶ τὴν γῆν ὥς, π. οἱ ὄφ.] *Coiled around the earth like serpents.*

Εἰς τὸ δυνατὸν κάτω καθέντα.] i. e. *When they have descended* or *sunk as low as possible;* of the intransitive sense, as here, of καθιέναι, Heindorf adduces examples ad Theætet. c. 65. V. Lobeck, ad Soph. Aj. 842. where μεθιέναι, ἰφιέναι, ἀφιέναι, &c. are shown to be capable of a similar construction.

Ἑκατέρωσε.] Socrates had already said, that on the return of these streams to Tartarus they re-entered the earth always at a lower point than that of their discharge into Tartarus, also that some emptied themselves at a place transversely opposite to that at which they had so entered, and others at the same side. While others, having made one or more circuits of the earth, emptied themselves again into Tartarus, as low down as they could. But as all these waters, which so penetrate in different directions through, and girded round the earth, were forced to return to a common centre, they could only as they re-entered at both sides of the chasm, descend so low as its centre, but not beyond this, for on both sides, if they descended lower, they would be ascending a steep, whereas they could evidently not pass at either side beyond the sphere of their attraction. Ἑκατέρωσε,—ἀμφοτεροῖς τοῖς ῥεύμασι, and τὸ ἑκατέρωθεν μέρος, may be explained by ἄνω καὶ κάτω,—εἰς τὸ ἐπ' ἐκεῖνα τῆς γῆς, καὶ εἰς τὸ ἐπὶ τάδε—κατ' ἐκεῖνα—τὰ ἐνθάδε supr. Heindorf refers it to ἔνια μὲν καταντ.—ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος. But it is not easy to arrive at any certainty upon the de-

§. 61. Τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δ' ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρ' ἄττα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περὶ κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστι, τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων, ὃς δι' ἐρήμων τε τόπων ῥεῖ ἄλλων καὶ δὴ καὶ ὑπὸ γῆν ῥέων εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται καί τινας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν μακροτέρους, αἱ δὲ βραχυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. Τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν πυρὶ πολλῷ καόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ· ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης, περιελιττόμενος δὲ τῇ γῇ ἄλλοσέ τε ἀφικνεῖται καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδα-

tails of this theory regarding Tartarus, which is elaborately and most needlessly perplexed.

§. 61. Τέτταρ' ἄττα ῥεύματα.] Cf. Procl. in Plat. Rep. p. 396. ὁ ἐν τῷ Φαίδωνι Σωκράτης—καὶ τῶν ποταμῶν ἐκεῖθεν τὴν ἱστορίαν παρειληφε, καὶ γὰρ ὅτι πάντων ἐστὶν. "Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔπως ἐστι περῆσαι," (Od. λ'. 157.) καὶ περὶ τῶν ἄλλων ὡσαύτως· "Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι, Κωκυτός θ' ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀποῤῥώξ." (Od. κ'. 514.) Ὅθεν οἶμαι καὶ ὁ Σωκράτης Στύγιον αὐτὸν προσείρηκεν.

Εἰς τὰς τῶν ζώων γενέσεις.] See supr. c. 15. init. c. 31. init. Ἐνδοῦνται. n. V. Cousin; *Sont renvoyées dans ce monde pour y animer de nouveaux êtres.*

Τούτων κατὰ μέσον ἐκβάλλει.] h. e. Ἐκρεῖ, as in c. 60. supr. here called ἐκβολή. Musgrave, ad Eurip. Iph. T. 1042.—Πόντου νοτερὸν εἶπας ἐκβολαν, reads ἐκβολήν, and adds,—"ἐκβολὴ hic a poeta dici videtur, tanquam *scaturigo quædam a terra provenlens.*—Ἐκβολὴ enim est *fons, scaturigo.* Auct. de Mundo: πηγῶν ἀναβλύσεις, καὶ ποταμῶν ἐκβολαί, καὶ δένδρων ἐκφύσεις, p. 12. Pausanias; πρὸς δὲ ταῖς Ἐρασινου ταῖς κατὰ τὸ ὄρος ἐκβολαις; p. 67. Ed. Sylb. Non hic loquitur de Erasini in mare exitu, sed de loco ubi e terra ἐκβάλλει."—Κατὰ μέσον, i. e. between Ocean and Acheron.

Καόμενον.] Att. for καιόμενον. V. Pierson on Mœris, p. 231.—Τῆς παρ' ἡμῖν θαλάττης, *the Mediterranean.* c. 58. supr. περὶ τὴν θάλατταν.

Θολερὸς καὶ πηλώδης.] *Turbid and muddy.*—Περιελιττόμενος δὲ τῇ γῇ, i. e. *but making the compass of the earth, it arrives, among other places, at the extremity of the Acherusian lake,* &c.—Heindorf proposes to read περιελιττόμενος δὲ τῆς γῆς ἄλλοσί τε (*et in alias terræ partes*) ἀφικνεῖται, &c.; making τῆς γῆς to depend upon ἄλλοσί, because the reading in the text would imply that the river encompassed the earth externally, whereas the sense requires that the passage should be understood of its windings under ground. But proba-

τι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς ἐμβάλλει κατωρέρω τοῦ Ταρτάρου. οὗτος δ' ἐστὶν ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα, οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπῃ ἂν τύχωσι τῆς γῆς. τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός, ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ τὴν λίμνην, ἣν ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα. ὁ δ' ἐμπεσὼν ἐνταῦθα καὶ δεινὰς δυνάμεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον ἐναντίως τῷ Πυριφλεγέθοντι· ὄνομα δὲ τούτῳ ἐστίν, ὡς οἱ ποιηταὶ λέγουσι, Κωκυτός.

§. 62. Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ οσίως βιώσαντες καὶ οἱ μή. καὶ οἷ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέ-

bly περιελιτ. τῇ γῇ may be used in reference to the earth externally, and περιελιχθεὶς δὲ—ὑπὸ γῆς of its internal windings after it had reached the extremity of the Acherusian lake, and before it arrived at Tartarus. Τῇ γῇ is wanting in Theodoret. Cur. Aff. xi. p. 154. and Euseb. MS. Oxon. Præp. Evang. xi. 38. p. 567.

Κατωτέρω τοῦ Ταρτάρου.] i. e. Εἰς τι κατωτέρω μέρος τοῦ Ταρτάρου. Cf. supr. Ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς—πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει.

Οὗ καὶ οἱ ῥύακες ἀποσπάσ. ἀναφ.] i. e. *Of which* (Pyriphlegethon), *the burning currents emit with violence distinct and forcibly separated portions, in whatever part of the earth they may be.*

Εἰς τόπον πρῶτον δεινόν.] i. q. Ἐκπίπτει πρῶτον εἰς τόπον δεινόν.—Κυανός, not only signifies *a cerulean*, or *blueish colour*, but also *a gem* of a similar colour, but inclined to yellow, which some make a species of jasper, others of sapphire. Plin. H. N. 37. 9. Theophr. de lapidd. p. 218. Bas. Meurs. Cypr. ii. 5. p. 94. Schneider, in Lex. explains κυανὸν, as *copper ochre*, and also *lapis Lazuli*.

Δεινὰς δυνάμεις.] i. e. *A mischievous efficacy.*

Χωρεῖ ἐναντίως.] i. q. Ἐξ ἐναντίας χωρεῖ.

§. 62. Διεδικασαντο.] h. e. *Judicium subeunt.* STALL. See supr. c. 57. init. διαδικασαμένους.

Μέσως βεβιωκέναι.] Those who have not been distinguished for the extremes of good or evil in life, are said μέσως βεβιωκέναι, to have run a middle course between virtue and vice, without being remarkable for an adherence to either. Eutrop. de Claudio, 7. 8. "*medie* im-

ροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην, καὶ ἐκεῖ οἰκοῦσί τε καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας ἀπολύονται, εἴ τίς τι ἠδίκηκε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος· οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι ἢ ἄλλα ὅσα τοιαῦτα τυγχάνει ὄντα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν οὔ ποτε ἐκβαίνουσιν. Οἳ δ' ἂν ἰάσιμα μέν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους κατὰ τὸν Κωκυτόν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας κατὰ τὸν Πυριφλεγέθοντα· ἐπειδὰν δὲ

peravit." Tacit. Hist. i. 49. de Galba. "ipsi *medium* ingenium magis extra vitia, quam cum virtutibus."—Ἃ δὲ αὐτοῖς ὀχήματά,—it is not certain what Plato meant by ὄχημα, the material vehicle of the soul; upon which Wyttenbach;—"Itaque accipiendum ex fabulæ verisimilitudine, in fluvialis itineris usum navigia postulantibus." V. Cousin; *ils s'embarquent sur des nacelles*, &c.

Καθαιρόμενοι.] Cf. Virgil, Æneid. vi. 735. "Quin et supremo quum lumine vita reliquit, Non tamen omne malum miseris, nec funditus omnes Corporeæ excedunt pestes; penitusque necesse est Multa diu concreta modis inolescere miris. Ergo exercentur pœnis, veterumque malorum Supplicia expendunt.—." Suid. v. Ἀχέρων· Ὁ δὲ Ἀχέρων καθαρσίῳ ἔοικε καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

Εὐεργεσιῶν τιμὰς φέρονται.] *They obtain the reward of their good works.*—Cf. de Rep. x. p. 615. B. εἴ τινας εὐεργεσίας εὐεργετηκότες καὶ δίκαιοι καὶ ὅσιοι γεγονότες εἶεν.

Ἀνιάτως ἔχειν.] Cf. Æneas Gaz. in Theophr. p. 52. οἱ δὲ κακοὶ εἰς Τάρταρον ἐμπεσόντες, ὅθεν οὔποτε ἐκβήσονται, αὐτοὶ μὲν οὔκετι ὀνίνανται, παράδειγμα δὲ τῆς δίκης γενόμενοι, εἰς ἀεὶ κείσονται· ταῦτα γὰρ ἐν Φαίδωνι καὶ Γοργίᾳ Σωκράτης διϊσχυρίζετο.

Καὶ μεταμέλον αὐτοῖς.] *And when it has repented them.*—Matthiæ Gr. s. 564.

Ἐκβαλλει τὸ κῦμα.] Cf. supr. c. 60. Αἰωρεῖται καὶ κυμαίνει ἄνω καὶ κάτω.

Κατὰ τὸν Κωκυτόν.] i. e. *Into Cocytus, so as to be borne along the course of its current.* Cf. Xenoph. Cyrop. vii. 5. 16. τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί. But κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα seq., *at the Acherusian lake.* Xen. Anab. v. 2. 16. Ξενοφῶν στὰς κατὰ τὰς πύλας ὁπόσους ἐδύνατο κατεκώλυε τῶν ὁπλιτῶν ἔξω.—Φερόμενοι, sc. ὑπὸ τούτων τῶν ποταμῶν.

φερόμενοι γένωνται κατὰ τὴν λίμνην τὴν Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν, καλέσαντες δ' ἱκετεύουσι καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι, καὶ ἐὰν μὲν πείσωσιν, ἐκβαίνουσί τε καὶ λήγουσι τῶν κακῶν, εἰ δὲ μή, φέρονται αὖθις εἰς τὸν Τάρταρον κἀκεῖθεν πάλιν εἰς τοὺς ποταμούς, καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδικήκασιν· αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. Οἱ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥς περ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι. τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν

Ἐὰν μὲν πείσωσιν.] i. e. *If they should succeed in appeasing them.*

Λήγουσι τῶν κακῶν.] Cf. Eurip. Phœn. 1078. ἔξελθε—λήξας ὀδυρμῶν πενθίμων τε δακρύων.

Εἰς τοὺς ποταμούς.] Sc. The homicides into Cocytus, the matricides and parricides into Pyriphlegethon.

Οἱ δὲ δὴ ἂν δόξωσι, κ. τ. λ.] See upon this construction, Matthiæ Gr. s. 634. 1. where *βιῶναι*, only once expressed, is understood after *προς το.*— Wyttenbach takes *τὸ ὁσιως* in the sense of *τὴν ὁσιότητα*, and explains the passage—*qui autem egregie ad sanctitatem vixisse videatur:* adverbs being frequently used with the article for substantives, as *τὸ ἀδίκως* for *ἡ ἀδικία*, *τὸ δικαίως* for *ἡ δικαιοσύνη*: so in Phileb. p. 92. C. *τοῦ καλῶς ἂν μάλιστα ἐπιτύχοιμεν*, for *τοῦ καλοῦ*. Heindorf proposes, from Theod. Cur. Aff. viii. p. 118. xi. p. 115. to read *οἳ δὲ δὴ δόξωσι διαφ. πρ. το ὁσ. β. προκεκρίσθαι, Quicunque autem videntur, præ cæteris sancte vivendo excelluisse ;* but it is probable that *προκεκρῖσθαι* was inserted in Theod. as supr. in explanation of *διαφερόντως*.— Besides the reading in the text is sanctioned by all the copies, and in the case of either of the interpretations given above, is alike independent of any correction.

Ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν.] Cf. supr. c. 59. Milton, Il Penseroso:

> —— Or let my lamp at midnight hour,
> Be seen in some high lonely tower,
> Where I may oft outwatch the Bear,
> With thrice-great Hermes, or unsphere
> The spirit of Plato, to unfold
> What worlds, or what vast regions hold
> The immortal mind, that hath forsook
> Her mansion in this fleshly nook.

Ἐπὶ τῆς γῆς.] h. e. *In supernas illas terræ regiones, ubi omnia sunt illustriora, pulchriora, diviniora.* Stall.

Οἱ φιλοσοφίᾳ ἱκ. καθηράμενοι.] i. e. Those who have weaned themselves from the body and its appetites, and in the study of the sublime precepts of philosophy, enjoy the only real freedom, that of the unpolluted and unshackled mind.

> —— Wisdom's self
> Oft seeks to sweet retired solitude;
> Where, with her best nurse, Contemplation,
> She plumes her feathers, and lets grow her wings,
> That in the various bustle of resort
> Were all-to ruffled, and sometimes impaired.
> He that has light within his own clear breast,
> May sit i' the centre and enjoy bright day:
> But he, that hides a dark soul and foul thoughts,
> Benighted walks under the mid-day sun;
> Himself is his own dungeon.—*Comus.*

ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὔτε ῥᾴδιον δηλῶσαι οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι.

§. 63. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πᾶν ποιεῖν ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν· καλὸν γὰρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη.

Τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι οὕτως ἔχειν, ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί· ὅτι μέντοι ἢ ταῦτ' ἐστὶν ἢ τοιαῦτ' ἄττα περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπεί περ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν μοι δοκεῖ καὶ ἄξιον κινδυνεῦσαι οἰομένῳ οὕτως ἔχειν· καλὸς γὰρ ὁ κίνδυνος καὶ χρὴ τὰ τοιαῦτα ὥς περ ἐπᾴδειν ἑαυτῷ, διὸ δὴ ἔγωγε καὶ πάλαι μηκύνω τὸν μῦθον. Ἀλλὰ τούτων δὴ ἕνεκα θαῤῥεῖν χρὴ περὶ τῇ αὐτοῦ ψυχῇ ἄνδρα, ὅς τις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα καὶ τοὺς κόσμους εἴασε χαίρειν ὡς ἀλλοτρίους τε ὄν-

Ἄνευ τε σωμάτων.] Olympiod. Αἱ καθαρθεῖσαι τελέως εἰς τὸν ὑπερκόσμιον τόπον ἀποκαθίστανται ἄνευ σωμάτων.

§. 63. Πᾶν ποιεῖν ὥστε.] i. e. Παντι τρόπω μηχανᾶσθαι; *to make every effort, to leave no means untried, so as to,* &c.—Καλὸν γάρ τὸ ἆθλον καὶ ἡ ἐλπὶς μεγάλη, *for the prize is glorious, and the hope is great.*

Τὸ μὲν οὖν ταῦτα διισχυρίσασθαι.] It is to be observed that Socrates expresses himself strongly here against any one insisting upon the truth of the theory just laid down, of which and all such it is impossible but that the principles should be speculative and vague. The grand point of the whole discussion had been fully established as an immutable and incontrovertible truth; this once disposed of, as if to unbend the minds of his auditors, and to divert them, for the brief remaining period of his life, from dwelling upon its afflicting close, the philosopher entered upon the subject of a future state, and its concomitant punishments and rewards. From the first he disclaimed being himself assured, or any attempt to assure others that these opinions were to be admitted as well founded or true; that the good and evil should be after this life requited according to their works, was not to be denied, but the nature of this retribution, upon which reason can only speculate, as still remaining unrevealed, it would be absurd to endeavour to illustrate or define.

Τοῦτο καὶ πρέπειν.] h. e. Τοῦτο καὶ πρέπειν μοι δοκεῖ οἰομένῳ οὕτως ἔχειν καὶ ἄξιον κινδυνεῦσαι (sc. οἰομένῳ οὕτ. ἔχ.) i. e. *this* (ὅτι μέντοι ἢ ταῦτ' ἐστιν ἢ τοιαῦτ. ἄτ. κ. τ. λ.), *it appears to me to be both becoming in one who so thinks, and worth one's while who so thinks to run the risk of the belief,* or *to run the risk of having it so thought.*—V. Cousin; *La chose vaut la peine qu'on hasarde d'y croire.*—Ἐπᾴδειν, see supr. c. 24. a med.

Περὶ τῇ ἑαυτοῦ ψυχῇ.] *In respect to his soul.*

τας καὶ πλέον θάτερον ἡγησάμενος ἀπεργάζεσθαι, τὰς δὲ περὶ τὸ μανθάνειν ἐσπούδασέ τε καὶ κοσμήσας τὴν ψυχὴν οὐκ ἀλλοτρίῳ ἀλλὰ τῷ αὐτῆς κόσμῳ, σωφροσύνῃ τε καὶ δικαιοσύνῃ καὶ ἀνδρίᾳ καὶ ἐλευθερίᾳ, καὶ ἀληθείᾳ, οὕτω περιμένει τὴν εἰς Ἅιδου πορείαν, ὡς πορευσόμενος ὅταν ἡ εἱμαρμένη καλῇ. ὑμεῖς μὲν οὖν, ἔφη, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ηδη καλεῖ, φαίη ἂν ἀνὴρ τραγικός, ἡ εἱμαρμένη, καὶ σχεδόν τί μοι ὥρα τραπέσθαι πρὸς τὸ λουτρόν· δοκεῖ γὰρ δὴ βέλτιον εἶναι λουσάμενον πιεῖν τὸ φάρμακον καὶ μὴ πράγματα ταῖς γυναιξὶ παρέχειν νεκρὸν λούειν.

§. 64. Ταῦτα δὴ εἰπόντος αὐτοῦ ὁ Κρίτων, Εἶεν, ἔφη, ὦ Σώκρατες· τί δὲ τούτοις ἢ ἐμοὶ ἐπιστέλλεις ἢ περὶ τῶν παίδων ἢ περὶ ἄλλου του, ὅ τι ἂν σοι ποιοῦντες ἡμεῖς ἐν χάριτι μάλιστα ποιοῖμεν; Ἅ περ ἀεί, ἔφη, λέγω, ὦ Κρίτων, οὐδὲν καινότερον· ὅτι ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅττ' ἂν

Πλέον θάτερον ἡγησάμενος.] *Thinking that they make the evil* (θάτερον) *greater*:—θάτερον being an Attic euphemism for τὸ κακόν. V. Valcken. Diatrib. in Eurip. Fragm. p. 112. C. Cf. Plat. in Euthydem. p. 218. F. πλεῖον γάρ που, οἶμαι, θάτερον ἐστιν, ἐάν τις χρῆται μὴ ὀρθῶς ὑτῳοῦν πράγματι, ἢ ἐὰν ἐᾷ, *for the evil, I think, is greater if one mismanages anything than if he leaves it altogether untouched.* Ibid. p. 255. C. ὁ δ' ἐμὸς Ἰόλεως Πατροκλῆς εἰ ἔλθοι, πλέον ἂν θάτερον ποιήσειεν, i. e. *would do more evil than good.* See Wettst. ad Timoth. i. v. 25.

Φαίη ἂν ἀνὴρ τραγικός.] *As a tragic writer would say.* Heindorf justly observes, that if an allusion were intended to any particular poet, Plato would have written κατὰ τὸν τραγικὸν, or φησὶν ὁ τραγικός. But it is rather to be supposed that, in the cheerful and happy spirit which never forsook him, Socrates assumes the mock gravity and pomp of tragedy, and expresses himself in terms analogous to those in which a catastrophe, like his own, might be most movingly described.

βέλτιον εἶναι.] Cf. in Crit. c. 16. ἄμεινον εἶναι.

§. 64. Ἐπιστέλλεις.] The verb ἐπιστέλλειν is peculiarly used in reference to the last injunctions of the dying. Infr. c. 65. καὶ ἐπιστείλας ἅττα ἐβούλετο.

Ἐν χάριτι μάλιστα ποιοῖμεν.] i. e. *We may act most agreeably to you.* Sens. Vig. c. iii. s. 12. r. 2.

Ὑμῶν αὐτῶν ἐπιμελούμενοι.] *Taking care of yourselves*; sc. that you may be improved and increased in wisdom and the practice of virtue.

Ἐμοὶ καὶ τοῖς ἐμοῖς.] *To me and mine*;—τοῖς ἐμοῖς referring chiefly to his children. — κἂν μὴ νῦν ὁμολογήσητε, *although you should not promise it*

ποιῆτε, κἂν μὴ νῦν ὁμολογήσητε· ἐὰν δὲ ὑμῶν αὐτῶν ἀμελῆτε, καὶ μὴ θέλητε ὥς περ κατ᾽ ἴχνη κατὰ τὰ νῦν τε εἰρημένα καὶ τὰ ἐν τῷ ἔμπροσθεν χρόνῳ ζῆν, οὐδ᾽ ἐὰν πολλὰ ὁμολογήσητε ἐν τῷ παρόντι καὶ σφόδρα, οὐδὲν πλέον ποιήσετε. Ταῦτα μὲν τοίνυν προθυμηθησόμεθα, ἔφη, οὕτω ποιεῖν· θάπτωμεν δέ σε τίνα τρόπον; Ὅπως ἄν, ἔφη, βούλησθε, ἐάν πέρ γε λάβητέ με καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῇ καὶ πρὸς ἡμᾶς ἀποβλέψας εἶπεν, Οὐ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι οὗτος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενός καὶ διατάττων ἕκαστον τῶν λεγομένων, ἀλλ᾽ οἴεταί με ἐκεῖνον εἶναι ὃν ὄψεται ὀλίγον ὕστερον νεκρόν, καὶ ἐρωτᾷ δὴ πῶς με θάπτῃ. ὅτι δὲ ἐγὼ πάλαι πολὺν λόγον πεποίημαι ὡς ἐπειδὰν πίω τὸ φάρμακον, οὐκέτι ὑμῖν παραμενῶ ἀλλ᾽ οἰχήσομαι ἀπιὼν εἰς μακάρων δή τινας εὐδαιμονίας, ταῦτά μοι δοκῶ αὐτῷ ἄλλως λέγειν, παραμυθούμενος ἅμα μὲν ὑμᾶς, ἅμα δ᾽ ἐμαυτόν. ἐγγυήσασθε οὖν με πρὸς

now.

Οὐδ᾽ ἐὰν πολλὰ ὁμολογήσ. κ. τ. λ.] i. e. *No matter how many promises you may have made, or how earnestly, you will avail nothing the more;* it will be all to no purpose. Scag. Vig. c. iii. s. 10. r. 6.

Οὐ πείθω, ἔφη,—Κρίτωνα, κ. τ. λ.] *I do not convince Crito that I am this Socrates who now confers with you,* &c. i. e. Socrates could not yet, he says, persuade Crito, that he who had hitherto conducted this discussion, and arranged its several arguments, was actually Socrates, the living and immortal mind and soul, whereas Crito spoke as if the dead body, concerning the disposal of which he had asked the question, was still Socrates himself, even after the spirit had fled. Cf. Cic. Tusc. i. 43. "(De humatione) Socrates quidem quid senserit, apparet in eo libro, in quo moritur: de quo jam tam multa diximus. Cum enim de immortalitate animorum disputavisset, et jam moriendi tempus urgueret, rogatus a Critone quemadmodum sepeliri vellet: 'Multam vero, inquit, operam, amici, frustra consumsi; Critoni enim nostro non persuasi, me hinc avolaturum, neque mei quidquam relicturum. Verumtamen, Crito, si me assequi poteris, aut sicubi nactus eris, ut tibi videtur, sepelito. Sed, mihi crede, nemo me vestrum, cum hinc excessero, consequetur.' Præclare id quidem, qui et amico permiserit, et se ostenderit de hoc toto genere nihil laborare."

Εἰς μακάρων δή τινας.] Supr. c. 57. Οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον.—Ἄλλως, *to no purpose, fruitlessly.*

Ἐγγυήσασθε οὖν με—τὴν ἐναντ. ἐγγ.] *Enter then into security for me to Crito, of an opposite character to that which he gave the judges.* Ἐγγυᾶσθαί τινα signifies, *to become security* or *caution for another.* Demosth. p. 809. ed. Reisk. πρῶτον ὑμῖν μάρτυρας παρασχήσομαι, ὡς οὐκ ἠγγυησάμην ἐγὼ τὸν Παρμένοντα, *that I did not go security for Parmeno.* Μάχην μάχεσθαι, ἔχθος ἐχθαίρειν, &c. are forms familiar to the Greeks, so supr., ἐγγυᾶσθαι ἐγγύην, and since ἐγγυᾶσθαι governs an accu-

Κρίτωνα, ἔφη, τὴν ἐναντίαν ἐγγύην, ἢ ἣν οὗτος πρὸς τοὺς δικαστὰς ἠγγυᾶτο. οὗτος μὲν γὰρ ἦ μὴν παραμενεῖν· ὑμεῖς δὲ ἦ μὴν μὴ παραμενεῖν ἐγγυήσασθε, ἐπειδὰν ἀποθάνω, ἀλλὰ οἰχήσεσθαι ἀπιόντα, ἵνα Κρίτων ῥᾷον φέρῃ, καὶ μὴ ὁρῶν μου τὸ σῶμα ἢ καόμενον ἢ κατορυττόμενον ἀγανακτῇ ὑπὲρ ἐμοῦ ὡς δεινὰ ἄττα πάσχοντος, μηδὲ λέγῃ ἐν τῇ ταφῇ ὡς ἢ προτίθεται Σωκράτη ἢ ἐκφέρει ἢ κατορύττει. Εὖ γὰρ ἴσθι, ἦ δ' ὅς, ὦ ἄριστε Κρίτων, τὸ μὴ καλῶς λέγειν οὐ μόνον εἰς αὐτὸ τοῦτο πλημμελές, ἀλλὰ καὶ κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. ἀλλὰ θαῤῥεῖν τε χρὴ καὶ φάναι τοὐμὸν σῶμα θάπτειν, καὶ θάπτειν οὕτως ὅπως ἄν σοι φίλον ᾖ καὶ μάλιστα ἡγῇ νόμιμον εἶναι.

§. 65. Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες, ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι ὥς περ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα

sative of the person, hence the form ἐγγύην ἐγγυᾶσθαι τινά τινι or πρὸς τινά.

Οὗτος μὲν γὰρ ἦ μὴν παραμ.] Intell. ἠγγυήσατο.

Ἀγανακτῇ.] *Should lament* or *be troubled.* Infr. c. 66. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε κλαίων καὶ ἀγανακτῶν οὐδένα ὕντινα ὄντινα οὐ κατέκλασε.

Ὡς ἢ προτίθεται Σωκράτη.] Ficinus appears to have read ὡς ἢ προτίθεται Σωκράτης ἢ ἐκφέρεται ἢ κατορύττεται: but as Heindorf observes, there is no reason for changing the text as supr., as Crito is understood from c. seq. to have undertaken the charge of the funeral rites. Προτίθεσθαι, *to lay out the dead body.* Eurip. Phœn. 1329. ἐγὼ δ' ἦκω μετὰ—γραῖαν Ἰοκάστην, ὅπως Λούσῃ προθῆται τ' οὐκ ἔτ' ὄντα παῖδ' ἐμόν. Hecub. 609—611. ὡς παῖδα—λούσω προθῶμαί θ'. Virg. Æneid. ix.486. "—nec te tua funera mater Produxi, pressive oculos, aut vulnera lavi." Ἐκφέρειν and κατορύττειν are terms also peculiar to the burial ceremonies. See Robinson's Grec. Antiq. B. v. cc. 3. 4.

Οὐ μόνον εἰς αὐτὸ τοῦτο.] *Not only as far as regards itself,* sc. τὸ μὴ καλῶς λέγειν. Heind. With Socrates, Epictetus observes, ἀρχὴ παιδεύσεως, ἡ τῶν ὀνομάτων ἐπίσκεψις; in Arrian. i. c. 17. p. 93.—Πλημμελὲς, sc. ἐστίν, *is culpable.* Schæfer Melett. p. 4. conjectures that it should be written πλημμελεῖ, upon which Heindorf.—"de *hominibus* frequens est πλημμελεῖν: num itidem de *rebus?*" — Φάναι, *to direct.*

§. 65. Ἀνίστατο εἰς οἴκημά τι.] i.e. *He arose and went into a certain chamber.* Eurip. Heracl. 59. ἀνίστασθαί σε χρὴ

βίον. ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία—δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας—καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἦκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. Ἐλθὼν δ' ἐκαθέζετο λελουμένος, καὶ οὐ πόλλ' ἅττα μετὰ ταῦτα διελέχθη, καὶ ἦκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτόν, Ὦ Σώκρατες, ἔφη, οὐ καταγνώσομαί γε σοῦ ὅ περ τῶν ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δ' ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πραότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπανεῖς, γιγνώσκεις γὰρ τοὺς αἰτίους, ἀλλ' ἐκείνοις. νῦν οὖν, οἶσθα γὰρ ἃ ἦλθον

Εἰς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.—Περιεμένομεν οὖν, κ. τ. λ., more fully, περιεμ. οὖν τοτὲ μὲν—ἀνασκοποῦντες, τοτὲ δ' αὖ διεξιόντες.—Τοτὲ μέν being omitted sometimes before τοτὲ δέ as ὁ μέν before ὁ δέ. Cf. supr. c. 55. init. Ἄμουσον,—τὸ δὲ ἄδικον.

Δύο γὰρ αὐτῷ υἱεῖς.] Cf. Apol. Socr. c. 23. Υἱεῖς—τρεῖς. supr. c. 3.—Τὴν δὲ Ξανθίππην.—Αἱ οἰκεῖαι γυναῖκες, *the female attendants, relations*, or *kinswomen*. Some commentators explain this of the *wives* of Socrates, in which case, as Heindorf correctly observes, it should have been written, not αἱ οἰκεῖαι γυναῖκες, but αἱ γυναῖκες αὐτοῦ. Cf. Ælian. Var. Hist. xii. 1. 18. ὑπὸ τῶν οἰκείων γυναικῶν αἱ ἔτυχον αὐταῖς συνελθοῦσαι, διαπεπλεγμέναι τε ἦσαν τὰς κόμας, καὶ διαπεποικιλμέναι τὰ πρόσωπα. In the variety of conflicting testimonies it is not easy to arrive at the truth of this part of Socrates' history, regarding his wives and children. That he had two, Myrto and Xanthippe, most of the ancient writers agree upon, but whether they were both alive at the same time, and whether Myrto or Xanthippe was mother to Lamprocles, or Sophroniscus and Menexenus, seems still a matter of great doubt. The probability is, that Lamprocles, the eldest, was the son of Myrto, and that the two younger were the sons of Xantippe, of whom only mention is made by Plato and Xenophon. Cf. Hemsterhus. ad Lucian. Halcyon. i. p. 184. et Præfat. xxxiii. Panæt. in Plutarch. Aristid. p. 335. C. Athen. xiii. p. 556. A. Bentl. in dissert. Phalarid. de Epist. p. 73. Diog. Laert. ii. 26. Jo. Luzac. in Lect. Att.

Καὶ ἦν ἤδη ἐγγὺς ἡλίου δυσμῶν.] *And it was now near sunset.* Cf. infr. Ἀλλ' οἶμαι—ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι καὶ οὔπω δεδυκέναι.

Οὐ πόλλ' ἅττα.] i. q. Ὀλίγα ἅττα, *pauca quædam*. HEIND.

Οὐ καταγνώσομαί γε σοῦ.] *I will not reproach you at least with what I reproach others.*

Τῶν ἀρχόντων.] Sc. Τῶν ἕνδεκα.

ἀγγελῶν, χαίρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα. Καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. Καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν, Καὶ σύ, ἔφη χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν. Καὶ ἅμα πρὸς ἡμᾶς, Ὡς ἀστεῖος, ἔφη, ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῶστος, καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος. Καὶ ὁ Κρίτων, Ἀλλ' οἶμαι, ἔφη, ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσι καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ. Καὶ ὁ Σωκράτης, Εἰκότως γ', ἔφη, ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν οὓς σὺ λέγεις, οἴονται γὰρ κερδανεῖν ταῦτα ποιήσαντες, καὶ ἔγωγε ταῦτα εἰκότως οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδαίνειν ὀλίγον ὕστερον πιὼν ἄλλο γε ἢ γέ-

Καὶ ἡμεῖς ταῦτα ποιήσομεν.] Referring to πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα supr.

Καὶ παρὰ πάντα μοι τὸν χρόνον.] *And during the whole time* (of his imprisonment, sc. thirty days) *he used to visit me, and occasionally* (when his other occupations allowed), *conferred with me, and proved himself the kindest of men.*

Εἰ τέτριπται.] The seed of the hemlock was brayed or ground to extract the juice. Plin. N. H. xxv. 13.—Ὁ ἄνθρωπος, sc. ὁ τῶν ἑνδεκα ὑπηρέτης.

Ἀλλ' οἶμαι—ἔτι ἥλιον εἶναι—] *But I think that the sun is still upon the mountains, and has not sunk as yet.*—There is something exquisitely touching in this short and simple sentence; it is the language of heartfelt but despairing tenderness, that would protract to its latest limit the fatal and unavoidable result, and claim for a few brief moments more from death, the object in whose life it lived, and in whose sacrifice its only hope had perished.

Πίνοντας.] *Bibere solitos.* WYTT.—the present for præterite.

Εὖ μάλα.] *Very freely.*

Καὶ ξυγγενομένους.] *Et quidem nonnullos suis amoribus potitos.* STEPH.—"De *Venere* enim h. l. intelligendum ξυγγένεσθαι. HEIND.

Ἐγχωρεῖ.] Phavorin. Ἐγχωρεῖ λαμβάνεται ἀντὶ τοῦ οἷόν τε καὶ δυνατόν ἐστιν· οἷον, ἐγχωρεῖ γενέσθαι τόδε.

Οἶμαι κερδαίνειν.] With this construction of the infinitive, Cf. in Crit. c. 14. a med. Ὁμολόγεις—πολιτεύεσθαι. Ficinus appears to have read κερδανεῖν.—Ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, i. e. *than to bring ridicule upon myself, to make myself ridiculous in my own eyes.*

λωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, ἔφη, πιθοῦ καὶ μὴ ἄλλως ποίει.

§. 66. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι. καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἦκεν ἄγων τὸν μέλλοντα δώσειν τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον· ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, Εἶεν, ἔφη, ὦ βελτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν; Οὐδὲν ἄλλο, ἔφη, ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι καὶ οὕτως αὐτὸ ποιήσει. Καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥς περ εἰώθει ταυρηδὸν ὑποβλέψας πρὸς τὸν ἄνθρωπον, Τί λέγεις, ἔφη, περὶ τοῦδε τοῦ πόματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ; Τοσοῦτον, ἔφη, ὦ Σώκρατες, τρίβομεν, ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν. Μανθάνω, ἦ δ' ὅς· ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἐξεστί τε καὶ χρὴ, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ. Καὶ ἅμα εἰπὼν ταῦ-

Φειδόμενος οὐδενὸς ἔτι ὄντος.] Socrates alludes here, probably, to a distich of Hesiod, Ἔργ. κ. Ἡμ. 365. Ἀρχομένου δὲ πίθου καὶ λήγοντος, κορέσασθαι· Μεσσόθι φείδεσθαι· δεινὴ δ' ἐνὶ πυθμένι φειδώ.

§. 66. Ἕως ἄν σου βάρος ἐν τοῖς σκ. γεν.] Senec. de Provid. c. iii. p. 195. "Male tractatum Socratem judicas, quod illam potionem publice mixtam, non aliter quam medicamentum immortalitates obduxit, et de morte disputavit usque ad ipsam mortem: male cum illo actum est, quod gelatus est sanguis, et paulatim frigore inducto venarum vigor constitit." Plin. Hist. Nat. xxv. 25. "Cicuta quoque venenum est, publica Atheniensium pœna invisa. — Schol. in Aristoph. Ran. 125. ἀπὸ τῶν ποδῶν γὰρ οὗτος ὁ θάνατος ἄρχεται, πρώτους αὐτοὺς ἀποψύχων ὡς τοῦ ζωτικοῦ αἵματος περὶ τὴν καρδίαν συστελλομένου.

Οὕτως αὐτὸ ποιήσει.] *And so* (while walking up and down,) *the poison will work* or *be effectual of itself*; i. e. will require nothing more. V. Cousin; *le poison agira de lui même.* The Latins use *facere* in a similar sense. Ficinus appears to have read ποιήσεις; so Steph. and Bas. 2.

Καὶ μάλα ἵλεως.] *With the utmost cheerfulness*; καὶ μάλα is often so used, with an intensive or augmentative power in καὶ: so infr. καὶ μάλα εὐχερῶς, κ. τ. λ.

Ταυρηδὸν ὑποβλέψας.] *Looking stedfastly*, or *intently.*

Ἔξεστί τε καὶ χρή.] *It is both lawful and expedient.*

τα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιε. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπεκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἷου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος, κλάων καὶ ἀγανακτῶν, οὐδένα ὃν τινα οὐ κατέκλασε τῶν παρόντων, πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ, Οἷα, ἔφη, ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυ-

Ἐπισχόμενος.] i. e. *Putting the cup to his lips :* Cornar., correctly, according to the sense of the middle voice: ἐπέχειν τινὶ πιεῖν, act. signifying *to give a drink to any one*, as in Aristoph. Nub. 1385. εἰ μέν γε βρῦν εἶποις, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον.

Κατέχειν τὸ μὴ δακρύειν.] i. e. Τὰ δάκρυα. Matthiæ Gr. s. 543. Obs. 2.

Ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ—] *But in spite of myself the tears flowed copiously*, &c.: ἀστακτὶ, *non stillatim, fuse.* Heind. Valcken. ad Theocr. Adon. p. 228.—Ἐγκαλυψάμενος, *having covered my face with my garment.* Dorvill. ad Charit., p. 274.—Ἀπέκλαον ἐμαυτὸν, Cf. Cic. Lacl. 3. "Moveor enim tali amico orbatus, qualis, ut arbitror, nemo unquam erit—nihil enim mali accidisse Scipioni puto: mihi accidit, si quid accidit —."

Οἷου ἀνδρὸς.] i. e. Ὅτι τοιούτου ἀνδρὸς, &c. Hom. Iliad. ε'. 757. Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα, Ὀσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν Μάψ —;

Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθ.—] i. e. *But Apollodorus, even before this, never ceased weeping, and then indeed bursting out into lamentation, bewailing and complaining, he pierced the heart of every one present except Socrates himself.*—Οὐδένα ὄντινα,—upon this construction, see Matthiæ Gr. s. 306.—Κατέκλασε, Steph. conj. for κατέκλασε. Thes. Gr. Ling. voc. κατακλαίω.

Οἷα.] *In what manner ! how !* Cf. Hom. Odyss. β'. 239. Aristoph. Pac. 33.—Οὐχ ἥκιστα,—the superlative of negative adjectives or adverbs is often put with οὐ for the positive without οὐ, especially οὐχ ἥκιστα for μάλιστα.—Matthiæ Gr. s. 463.

Ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν.] Correctly rendered by Ficinus, *cum faustis acclamationibus :* so Cornar., *cum laudatione et bonorum verborum pronunciatione.* See Robinson's Grec. Antiq. pp. 162. 202. 214. 268. Olympiod. Cod. i. p. 168. 261. Ὅτι ἐν εὐφημίᾳ τελευτᾶν ἠξίουν οἱ Πυθαγόρειοι, ὡς ἀγαθοῦ καὶ ἱερου τοῦ πράγματος ὄντος· καὶ ὅτι ἐνίοτε περισπᾷ τὰ τοιαῦτα τὴν ἀνάγωγον ὁρμήν. The precept of Pythagoras generally, as regarding this εὐφημία, is mentioned by Jamblichus, Vit. Pythag. c. 149. and its especial importance at the time of

χίαν τε ἄγετε καὶ καρτερεῖτε. Καὶ ἡμεῖς ἀκούσαντες ἠσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρυειν. ὁ δὲ περιελθών, ἐπειδή οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος. καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκοπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτου τὸν πόδα ἤρετο εἰ αἰσθάνοιτο· ὁ δ' οὐκ ἔφη. καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο ὅτι ψύχοιτό τε καὶ πήγνυτο. καὶ αὐτὸς ἥπτετο, καὶ εἶπεν ὅτι ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. Ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος, ἐνεκεκάλυπτο γάρ, εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο, Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα. ἀλλ'

death, c. 257. Ὅλως δ' ἄχρι τῆς τελευτῆς εἶναι τι προστεταγμένον· καὶ κατὰ τὸν ὕστατον καιρὸν παρήγγελλε μὴ βλασφημεῖν, ἀλλ' ὥσπερ ἐν ταῖς ἀναγωγαῖς οἰωνίζεσθαι μετ' εὐφημίας, ἡνπερ ἐποιοῦντο διωθουμένους τὴν ανδρίαν. (or as Wytt. conj. διορθούμενοι τὴν ἀνδρίαν *confirmantes fortitudinem.*)

Ἐπέσχομεν τοῦ δακρύειν.] See Matthiæ Gr. s. 355.

Διαλιπὼν χρόνον.] *After some time.* Matthiæ Gr. s. 557. p. 969.

Ἐπανιὼν.] *Going higher up,* sc. with his hand.—Ψύχοιτο· Ælian. H. A. iv. 23. κωνείου δ' ἄνθρωπος πιὼν κατὰ τὴν τοῦ αἵματος πῆξιν καὶ ψύξιν ἀποθνήσκει.—Πήγνυτο: Plin. H. N. xxv 13. in cicut. "Semini et foliis refrigeratoria vis: quæ si enecat, incipiunt algere ab extremitatibus corporis—. Semine trito expressus (succus) et sole densatus in pastillos, necat sanguine spissando. Hæc altera vis. Et ideo sic necatorum maculæ in corporibus apparent." Upon the opt. πήγνυτο, see Buttmann Gram. Ampl. t. i. p. 539. Cf. supr. c. 23. διασκεδάννυται. Hom. Iliad. ώ. 605. Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαύς. Odyss. σ'. 237. λελῦτο.

Καὶ αὐτὸς ἥπτετο.] *And he himself touched him;* sc. after he had made those who were standing by touch him, to show how far the poison had already operated in removing all sensation.

